τῆς σελήνης ἀκινήτους ἐφύλαξαν κατὰ τὰς ἀναγεγραμμένας ἡμέρας τῶν δύο μηνῶν μαρτίου καὶ ἀπριλίου ἐν τῇ ἐκτεθείσῃ ἐννεακαιδεκαετηρίδι ὑπὸ τῶν πανευφήμων τῆς ἐκκλησίας διδασκάλων, D
καὶ οὕτω τὸν κύκλον τῶν φλβ' ἐτῶν ἀνέταξαν. καὶ περὶ μὲν τὴν
ἁγίαν τοῦ πάσχα ἑορτὴν σύμφωνοι ηὑρέθησαν τῷ ἐκκλησιαστικῷ
κανόνι, καθ' ὃν ἐπετέλεσεν καὶ ἐπιτελεῖ καὶ ἐπιτελέσει τὸ ζωοποιὸν πάσχα ἡ τοῦ θεοῦ ἐκκλησία· χρόνους δὲ παρέθεντο ἐν τῷ κύκλῳ τῶν φλβ' ἐτῶν τούς τε ἀπὸ κτίσεως κόσμου τούς τε ἀπὸ τῆς ἐνανθρωπήσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τούς τε ἀπὸ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως ἀσυμφώνους τῇ τε θεοπνεύστῳ γραφῇ καὶ τῷ ἐκκλησιαστικῷ κανόνι καὶ τῇ
τῶν πραγμάτων φύσει ᾧ τινες προσέχοντες περὶ μὲν τὴν ἁγίαν P 11
τοῦ πάσχα ἑορτὴν οὐ διασφάλλονται, ἀλλὰ συμφωνοῦσι τῇ κα- V 9
θολικῇ ἐκκλησίᾳ, περὶ δὲ τὰς ἄλλας ἑορτὰς τὰς τελουμένας ἐν

9. τεσσαρεσκ. P. 13. κύκλῳ V. *ibid.* μὲν om. P. 14. εὑρέθησαν P.

ris Patribus proposito descriptos, sed proprios Decemnovennales Cyclos confecere illi contrarios qui ab inspiratis a Deo Doctoribus sunt expositi; sicque Cyclos DXXXII. annorum composuerunt. Quibus quidam fidem adhibentes, regulam ignorantes Ecclesiasticam, frustra de salutari Paschate turbas saepius excitarunt, cum in sancta Dei Ecclesia vivificum Pascha erronee celebrari sibi in animum inducerent.

Alii vero quartas decimas primi mensis Lunae immobiles observarunt juxta descriptos duorum mensium dies, Martii et Aprilis, in Decemnovennali Cyclo ab praeclaris Ecclesiae Doctoribus exposito, atque sic in semet redeuntem DXXXII. Cyclum constituerunt. Et sane circa Paschalem sanctam festivitatem sanctae regulae consentire sünt deprehensi, secundum quem vivificum Pascha celebravit, celebrat, et celebrabit Dei Ecclesia. In Cyclo porro DXXXII. annorum, a mundo condito annos praeterea appesuere, et ab Incarnatione magni Dei et Servatoris nostri Jesu Christi, et ab ejus a mortuis resurrectione, qui a Deo inspiratae scripturae, et Ecclesiasticae regulae, ac rerum naturae minime consonant, cui dum quidam adhaerent, quoad Sanctum Paschatis festum non falluntur quidem, immo Catholicae Ecclesiae consentiunt, verum quoad alias

αὐτῇ σφόδρα πεπλάνηνται, οἷον Χριστοῦ γενέθλιον, ὅπερ ἀπλανῶς λίαν ἑορτάζει ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους δεκεμβρίου μηνός, ἔτι δὲ καὶ τὸν εὐαγγελισμὸν τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὃν καὶ αὐτὸν ἀνεπιλήπτως ἐπιτελεῖ ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἔτι μὴν καὶ τὸ γενέθλιον τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτι-
B *στοῦ, ὅπερ ἐπιτελεῖ ὀρθῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι τετάρτῃ τοῦ κατὰ Ῥωμαίους ἰουνίου μηνός, πρὸς τούτοις δὲ καὶ τὴν ἁγίαν ἀπάντησιν τοῦ σωτῆρος ἡμῶν θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ὅτε ὑπεδέξατο αὐτὸν ἐν ταῖς ἀγκάλαις ὁ δίκαιος Συμεών, ἣν ἑορτάζει ἀσφαλῶς ἡ τοῦ θεοῦ ἐκκλησία τῇ δευτέρᾳ τοῦ κατὰ Ῥωμαίους φεβρουαρίου μηνός. τοῖς οὖν ἀναγραψαμένοις τὸν οὕτω κατασκευασθέντα κύκλον τῶν φλβʹ ἐτῶν κατακολουθοῦντές τινες τῶν κουφοτέρων, καὶ ἀληθεύειν τούτους οἰόμενοι, λίαν τολμηρῶς καὶ προπετῶς καταμέμφονται τὰς ἁπανταχόσε ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐν ταῖς εἰρημέναις ἡμέραις τὰς μνημονευθείσας*
C *ἐπιτελοῦντας ἑορτάς.*

Ἐπεὶ οὖν οὐχ ηὕρομεν ὑπό τινος ἀναγραφέντα ἑορταστικὸν κύκλον τῶν φλβʹ ἐτῶν διὰ πάντων συμφωνοῦντα τῇ θεοπνεύστῳ γραφῇ καὶ ταῖς ἀνεπιλήπτως τελουμέναις ἑορταῖς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἀλλ' ἔγνωμεν ἐν μιᾷ ἢ καὶ ἐν πλείοσιν ἢ καὶ ἐν πάσαις ταῖς ἑορταῖς τῆς ἁγίας τοῦ θεοῦ

4. ἡμῶν om. P. 13. Φευρουαρίου PV. 18. ἐπιτελοῦντας] Conf. περιττευόντων ἀρῶν in circulo p. 13.

festivitates quae in ea celebrantur plurimum aberrant: veluti in Christi Nativitate, quam recte prorsus celebrat Sancta Dei Ecclesia xxv. die mensis secundum Romanos Decembris. Ita perinde in Annuntiatione sanctae gloriosae Dominae nostrae Dei Genitricis et semper Virginis Mariae, quam et ipsam inculpate celebrat Dei Ecclesia xxv. die mensis secundum Romanos Martii: praeterea in Nativitate Sancti Joannis Praecursoris et Baptistae, quam recte Dei Ecclesia xxiv. mensis juxta Romanos Junii celebrat. Praeterea in sancto Servatoris nostri Dei et Domini Jesu Christi Occursu, cum in ulnis eum excepit justus Simeon, quem recte celebrat Dei Ecclesia ii. mensis juxta Romanos Februarii. Ab hisce igitur descriptum ac sic compactum dxxxii. annorum Cyclum quidam ex simplicioribus secuti, ac veritati consonum illum esse arbitrati, audacter nimis ac temere sanctas ubique Ecclesias, a quibus, praedictis diebus memoratae peraguntur festivitates, reprehendunt.

Quandoquidem igitur nullum hactenus invenimus a quopiam descriptum dxxxii. annorum Paschalem Cyclum, qui a Deo inspiratae scripturae in omnibus concinat, ac festis quae in sancta Dei Catholica et Apostolica Ecclesia inculpate celebrantur, immo in uno, vel in pluribus, vel etiam in omnibus festis, sanctae Dei Ecclesiae minime esse consentaneos,

ἐκκλησίας ἀσυμφώνους καὶ ἐναντίους τυγχάνοντας καὶ ταραχὰς καὶ σκάνδαλα τοῖς τῆς εὐσεβείας τροφίμοις ἐμποιοῦντας τοὺς ὑπό τινων ἀναγραφέντας ἑορταστικοὺς κύκλους, ἀναγκαῖον ἡγησάμεθα ἀναγράψαι κύκλον ἑορταστικὸν ἐτῶν φλβ' διὰ πάντων συνᾴδοντα ταῖς θεοπνεύστοις γραφαῖς καὶ ταῖς ἀπλανῶς μὲν παραδοθείσαις D ὑπὸ τῶν θεοφόρων πατέρων, ὀρθῶς δὲ τελουμέναις ἑορταῖς ἐν ταῖς ἁπανταχόσε ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἐντευξομένων ὠφέλειαν καὶ εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, φωτίζοντος ἡμᾶς τῷ φωτὶ τῆς γνώσεως καὶ παρέχοντος ἡμῖν λόγον ἀληθείας ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν πρὸς οἰκοδομὴν τῆς ἁγίας ἐκκλησίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον δίδοται πᾶσι τοῖς πιστῶς προσκυνοῦσιν αὐτόν.

Προτάξομεν δὲ τοῦ ἑορταστικοῦ κύκλου τῶν φλβ' ἐτῶν τὴν P 12 κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου, ἥτις συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη δηλοῖ τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς τοῦ ἡλίου, ἀποκαταστατικὴ τυγχάνουσα ἡμέρας μηνὸς ἡλιακοῦ καὶ ἡμέρας ἑβδομάδος καὶ ἔτους τετραετηρίδος βισέξτου. ἔτι δὲ καὶ τὴν ἔκθεσιν τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης δηλώσομεν, ἥτις καὶ αὐτὴ συναρξαμένη τῇ γενέσει τῶν φωστήρων, εἰς ἑαυτὴν διὰ παντὸς ἀνακυκλουμένη δηλοῖ ἐν ἑκάστῳ ἔτει τὴν κατὰ τὸν ἐκκλησια-

10. ἀληθῆ P.

interdum etiam contrarios advertimus, Paschalesque a quibusdam compactos Cyclos tumultuum ac scandalorum ansam praebere pietatis alumnis, operae pretium duximus Cyclum describere DXXXII. annorum a Deo inspiratis scripturis in omnibus consentaneum, et festivitatibus quae recte a Deiferis Patribus traditae sunt, et in sanctis Dei Ecclesiis recte ubique celebrantur, tum ad nostram ipsorum, tum ad eorum qui haecce legent utilitatem ac pacem, et ad sanctarum praeterea Dei Ecclesiarum concordiam: illuminante nos lumine cognitionis, et verum nobis praebente sermonem in apertione oris nostri ad aedificationem sanctae Ecclesiae magno Deo et Servatore nostro Jesu Christo, a quo omne donum bonum, et omne munus perfectum datur iis omnibus qui cum fide eum adorant.


Praefigemus porro annorum DXXXII. Paschali cyclo naturalem solis Vigintioctennalem Cyclum, qui sumpto una cum luminarium ortu exordio in semetipsum semper reflectitur, et singulis annis Epactas Solis indicat, cum apocatastatice sit diei mensis solaris, ac diei hebdomadis, et anni quadriennii Bisexti. Praeterea proponemus naturalem Decemnovennalem Cyclum Lunae, qui et ipse una cum ortu luminarium in semet semper recurrens, singulis annis decimam quartam primi mensis Lunae, juxta ecclesiasticam regulam, qua legale festum celebrari praeceptum est, indi-

στικὸν κανόνα τεσσαρισκαιδεκάτην τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, καὶ πό- B σαι εἰσὶν ἐν ἑκάστῳ ἔτει ἐπακταὶ τῆς σελήνης, ἥτις ἐννεακαιδεκαετηρίδος ἀποκαταστατικὴ τυγχάνει ἡμέρας μηνὸς ἡλιακοῦ καὶ V 10 ἡμέρας σελήνης μηνός. ἐπιδρομήν τε τῶν χρόνων τῶν ἀπὸ ἀρχῆς κτίσεως κόσμου ποιησόμεθα. μέθοδόν τε παραδώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς γινώσκειν δυνήσεταί τις καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόστον ἔτος ἐστὶν τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. μέθοδόν τε ἑτέραν δηλώσομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τοῦ ἡλίου ἐπακταί. μέθοδόν τε αὖθις ἄλλην γνωρίσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν ἐν πόστῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρί- C σκεται ἑκάστη ἐπιζητουμένη οἱουδήποτε μηνὸς ἡμέρα. πάλιν ἄλλην μέθοδον γράψομεν τὰ ἔτη τοῦ κόσμου παραλαμβάνοντες, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν πόσαι εἰσὶν αἱ τῆς σελήνης ἐπακταί. ἔτι μέθοδον ἄλλην δηλώσομεν, δι' ἧς δυνήσεταί τις γινώσκειν καθ' ἕκαστον ἐπιζητούμενον ἐνιαυτὸν ἐν πόστῃ ἡμέρᾳ τοῦ μαρτίου ἢ τοῦ ἀπριλίου εὑρίσκεται ἡ κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης. τούτων γὰρ πάντων προδηλουμένων, οὕτω σαφῶς ἀποδείξομεν ἐν πόστῳ μὲν ἔτει τοῦ κόσμου, ἐν πόστῳ δὲ ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ ἐν πόστῳ ἔτει τῆς ἐννεακαιδεκαετηρίδος τῆς σελήνης τὸ πρῶτον ἐν Αἰγύπτῳ ἐπετελέσθη πάσχα, ἐν πόστῳ δὲ ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιει-

1. τεσσαρεσκ. P. 6. τε] δὲ P. 7. 10. 13. 16. δυνήσηται PV. 22. ἐν πόστῳ δὲ ἔτει — 25. τοῦ κόσμου om. P.

cat: quotaeque singulis annis sunt Lunae Epactae, quaeve Decemnovennalis apocatastatice est diei mensis solaris, et diei mensis lunaris. Annorum etiam a mundi conditi exordio decursum exequemur: methodum vero ac rationem trademus, sumptis annis mundi, qua nosse quivis poterit, quovis quaesito anno, quotus est annus Decemnovennalis Cycli solis. Methodum praeterea alteram indicabimus, sumptis annis mundi, qua nosse quivis poterit in quaesitis singulis annis, quotae sunt solis Epactae. Methodum rursum aliam docebimus, qua nosse quivis poterit, quoto hebdomadis die invenitur unusquisque quaesiti cujusvis mensis dies. Rursum aliam methodum describemus, sumptis mundi annis, qua quivis nosse poterit singulis quaesitis annis quot sunt Lunae Epactae. Methodum adhuc aliam indicabimus, qua quivis nosse poterit singulis quaesitis annis quoto Martii aut Aprilis die invenitur juxta regulam Ecclesiasticam decima quarta primi mensis Lunae. Hisce praedictis omnibus praeindica-

V 11 *Κύκλος τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου εἰς ἑαυτὸν ἀνακυκλούμενος, πάντοτε σημαίνων τὰς ἐν ἑκάστῳ ἔτει ἐπακτὰς τοῦ ἡλίου.*



2. τὰς om. P. 8. β″] βη″ PV. ib. βήσε (ου) PV. 10. κύκλου PV. 11. καθεξεῖς PV.
ib. κύκλους] κ (ύ) PV. 12. βισέκτῳ κη′ κύκλῳ ζ′ PV. 15. περιττευόντων] Hoc non mutandum.

P 14
V 12 *Cyclus vigintioctennalis solis in seipsum semper recurrens, denotans quovis anno solis Epactas.*

Quae extra Rotam sunt, indicant quot sint Cycli: sunt autem XXVIII. *Quae vero intra Rotam sunt, quoto die ingreditur Martius denotant. Et ubi B describitur punctatus, Bissextum indicat qui fit singulis* IV. *Cyclis, seu annis. Invenies enim ipsum Bissextum in* IV. *Cyclo, et in* VIII. *et in* XII. *et sic deinceps secundum* IV. *Cycloa: ita ut* XXVIII. *Cyclo* VII. *Bissexti occurrant. Quippe juxta ejusmodi quadriennium poteris invenire dies* XXIX. *ex horarum trium, quae annis singulis supersunt, collectione.*

κοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος γέγονεν ὁ εὐαγγελισμὸς ὁ πρὸς τὸν ἅγιον Ζαχαρίαν περὶ τῆς συλλήψεως τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἔτι μὴν καὶ ὁ εὐαγγελισμὸς ὁ πρὸς D *τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον καὶ θεοτόκον Μαρίαν γενόμενος καὶ ἡ κατὰ σάρκα σύλληψις τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσπόρως καὶ ἀφθάρτως γεγένηται· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιεικοσαετηρίδος ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην ἐλθὼν ἐβαπτίσθη ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· ἐν πόστῳ τε ἔτει τοῦ κόσμου καὶ τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τῆς ἐννεακαιδεκαετηρίδος ἐσταυρώθη ὑπὲρ ἡμῶν καὶ σκυλεύσας τὸν ᾅδην ἀνέστη ἐκ νεκρῶν. καὶ οὕτω λοιπὸν ἀρχόμενοι τοῦ ἑορταστικοῦ κύκλου ἀπὸ τοῦ ἔτους ἐκείνου ἐν ᾧ τὸν ζωοποιὸν θάνατον ὑπομείνας σαρκὶ ὑπὲρ ἡμῶν Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, παραστή-* P 13 *σομεν ἐν πόστῳ τε ἔτει τοῦ κόσμου ἐπληρώθη ὁ πρῶτος ἑορταστικὸς κύκλος τῶν φλβʹ ἐτῶν τοῦ ἐκκλησιαστικοῦ πάσχα καὶ πόθεν ἄρχεται ὁ δεύτερος κύκλος τοῦ ἁγίου καὶ ζωοποιοῦ πάσχα, προστιθέντες τοὺς χρόνους τοὺς ἀπὸ κτίσεως κόσμου φανέντας μετὰ πλείστης ὅσης τῆς ἐξετάσεως ἀληθείας ἔχεσθαι. ταῦτα γὰρ πάντα γινώσκων τις εὑρήσει ὡς ὀρθῶς καὶ ἀνεπιλήπτως τὰς μνημονευθείσας μικρῷ πρόσθεν ἑορτὰς ἐπιτελεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.*

7. τε om. P. 9. ὁ om. P. ib. τε om. P. 10. ἀνεσταυρώθη P. 11. ἐκ τῶν νεκρῶν P. 15. πληρωθῇ P. 19. ἔχεται P. 22. Circulum qui sequebatur in tabula adiecta posuimus.

tis, sic perspicue demonstrabimus quoto mundi anno Vigintioctennalis Cycli et Decemnovennalis fuit Annuntiatio Sancto Zachariae de Praecursoris et Baptistae Joannis conceptione, ut et Annuntiatio Sanctae gloriosae semper Virgini et Dei genitrici Mariae facta, ut et Magni Dei et Servatoris nostri Jesu Christi secundum carnem Conceptio, quae sine semine et intaminate facta est. Deinde quoto mundi et Vigintioctennalis Cycli anno in Jordanem ad Joannem veniens baptizatus est Dominus noster Jesus Christus: quoto etiam mundi, et Vigintioctennalis, et Decemnovennalis Cycli anno crucifixus est pro nobis, et spoliato inferno ex mortuis resurrexit. Atque sic deinceps sumpto exordio Paschalis cycli, ab illo anno quo vivificam mortem tulit carne pro nobis Christus verus Deus noster, tertia die ex mortuis resurrexit, quo mundi anno completus est primus Paschalis Cyclus annorum DXXXII. Ecclesiastici Paschatis, et unde initium sumit secundus Cyclus sancti et vivifici Paschatis, additis qui a mundi conditu videntur effluxisse annis, cum quantalibet veritatis inquisitione demonstrabimus. Haec enim omnia ubi quivis intellexerit, tum ut supra memoratas festivitates recte ac inculpate celebret sancta Dei Catholica et Apostolica Ecclesia statim percipiet.


P 14 V 12 Ἰστέον ὡς ἐν τῇ γενέσει τῶν φωστήρων, ἤγουν ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως, τὸ πρῶτον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς οὐκ ἔχει. αἱ γὰρ ἐπακταὶ μετὰ συμπλήρωσιν τῶν νβʹ ἑβδομάδων ἑκάστου ἡγουμένου ἐνιαυτοῦ ἐκ τῆς ὑπολειπομένης τοῦ ἡλιακοῦ ἐνιαυτοῦ μιᾶς πρὸς τῷ τετάρτῳ ἡμέρας λαμβάνονται, καὶ ἑκάστῳ ἑπομένῳ ἐνιαυτῷ ἐπιφέρονται. πῶς οὖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως δυνατόν ἐστιν ἐπακτὰς λαβεῖν; καταγέλαστον γὰρ τοῦτο· λέγω δὴ τὸ λαβεῖν ἐν τῇ ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως ἐπακτὰς ἢ ἐπακτὴν ἢ λεπτὰ ἐπακτῶν. μετὰ δὲ τὸ πληρωθῆναι τὴν πρώτην ὀκτωκαιεικοσαετηρίδα τοῦ ἡλίου τὴν συναρξαμένην τῇ γενέσει τοῦ κόσμου τὸ πρῶτον ἔτος τῆς δευτέρας ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου ἐπακτὰς ἔχει ζʹ· εἰ δὲ ὑπερβῶσι τὸν ζʹ, οὐκέτι λοιπὸν ηʹ ἢ θʹ λέγονται, ἀλλ' ἀφαιρουμένων τῶν ζʹ μία ἢ δύο καὶ πάλιν ἕως τῶν ζ. τὸ δὲ βʹ καὶ γʹ ἔτος τῆς ὀκτωκαιεικοσαετηρίδος καὶ τὰ λοιπὰ αὐτῆς ἔτη ὡσαύτως ἔχει καὶ ἐν τῇ πρώτῃ ὀκτωκαιεικοσαετηρίδι καὶ ἐν τῇ δευτέρᾳ καὶ ἐν πάσαις ὁμοίως ταῖς λοιπαῖς.

Ἐνταῦθα δὲ σημειωτέον καὶ τοῦτο, ὅτι ἕκαστον ἔτος τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου τὴν ἀρχὴν ἔχει τὴν καʹ τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἐν ᾗ τὴν ἐαρινὴν ἰσημερίαν

2. ὀκτωκαιεικοσαετηρίδος] ηʹ καὶ κʹ ετηρίδος PV. Sic et 11. 12. 15. 17. 20. 5. ἐκ τῆς — ἐνιαυτοῦ om. P. 8. ἐστιν] μὲν P. 11. συναρξαμένην] οὖν ἀρξαμένην PV. 13. ζʹ] ξʹ P. ib. τὸν ζʹ] τὸ νξʹ P. 14. ἢ θʹ] ἡ θʹ PV. ib. λήγονται P, λίγονται V. 14. 15. ζʹ] ξʹ P. 16. καὶ τὰ] κατὰ P.

Notandum porro in ortu luminarium, seu in initio mundi compositionis, primum naturalis Cycli Vigintioctennalis Solis annum Epactas non habere: Epactae quippe post completas LII. hebdomades uniuscujusque primi anni, ex die cum quadrante sumuntur, et singulis sequentibus annis inferuntur. Qui ergo fieri potest, ut mundi conditi initio potuerint Epactae occurrere? Istud enim perridiculum est, ut, inquam, initio mundi compositionis Epactae, vel Epacta, atque adeo occurrant Epactarum minuta. Postquam autem primus Vigintioctennalis Cyclus solis completus fuerit, ille scilicet qui in mundi ortu incoeperit, primus secundi Vigintioctennalis Cycli solis annus Epactas habet LX. Si vero excedant LX. . . . . sed ablatis a LX. una vel duabus, et rursum usque ad LX. Secundus vero ac tertius Vigintioctennalis Cycli annus, prout reliqui illius anni, similiter Epactas habent, quemadmodum habentur in primo Vigintioctennali Cyclo, et in secundo, et pari modo in reliquis omnibus.

Istud etiam hoc loco observandum, unumquemque naturalis Vigintioctennalis Cycli solis annum habere initium XXI. die mensis juxta Romanos Martii, quo vernum fieri aequinoctium per Deiferos Patres docuit



ἀπρίλλ. ubique P. 10. Ἰαννουαρίου PV. 11. ὄπισθεν] p. 13.

Quae extra Rotam exscribuntur, indicant quot sunt Cycli: sunt autem XXIX. *Quae vero interius, quo mense Legale Pascha incidat, denotant. Tertia vero Rota, quoto mensis die idem Legale Pascha celebratur edocet. Quae vero omnino interior est, ostendit quotos habere debet dies Luna S. Basilii. primo Januarii mensis die. In ea vero quae a tergo est Rota, invenies omnia quae de Sole sunt. Sic porro constant Paschata usque ad consummationem.*

γίνεσθαι τὸ πνεῦμα τὸ ἅγιον διὰ τῶν θεοφόρων ἐδίδαξε πατέρων. ἐκκείσθω λοιπὸν καὶ ἡ ἔκθεσις τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης.

1. πατέρων ἐδίδαξε P. 2. ιθ' ετηρίδος PV. 3. Circulum qui sequebatur in tabula adiecta posuimus.

Spiritus sanctus. Enimvero superest ut hic describatur Expositio naturalis Decemnovennalis Cycli Lunae.

V 14 *Περὶ τοῦ κατὰ τὸν θεῖον νόμον γιγνομένου κατ' ἐνιαυτὸν ἁγίου καὶ σωτηριώδους πάσχα καὶ τῶν τούτου ζητημάτων σύντομος μετὰ ἀποδείξεως ἀπόλυσις.*

Τὸ μὲν ἅγιον καὶ μακάριον πάσχα τοῦ θεοῦ διαῤῥήδην ὑπογράφει ὁ νόμος, ὁμοῦ καὶ τὸν μῆνα δηλῶν καθ' ὃν δεῖ τοῦτο ποιεῖν, καὶ τὴν ἡμέραν κελεύων διατηρεῖσθαι μετὰ πολλῆς τῆς ἀκριβείας. θεοῦ γάρ ἐστιν ἐν αὐτῷ φωνὴ φερομένη τῷ νόμῳ,
B *φυλάξαι τὸν μῆνα τῶν νέων, „καὶ ποιήσεις τὸ πάσχα κυρίῳ τῷ θεῷ σου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ πρώτου μηνός.“ μῆνα δὲ νέον λέγει ὃν καὶ πρῶτον καλεῖ ἐν ᾧ τεθηλότες οἱ καρποὶ τὴν γενομένην τῶν παλαιῶν προσημαίνουσι κατάπαυσιν. ἐν δὲ τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἐπιτηρεῖσθαι τὸ πάσχα συνέταξεν, οὐκ ἄλλου τοῦτο χάριν ἢ ἵνα κατὰ μίμησιν τοῦ τῆς σελήνης φωτὸς πλήρη τὸν ἴδιον κύκλον ἐχούσης, τὸν μὲν τῆς διανοίας φωστῆρα ἡμεῖς τέλειον ἔχοντες ἐν σκότῳ τῆς ἁμαρτίας μὴ διατρίβωμεν, θάλλοντες δέ που παντοδαπέσιν ἀρεταῖς καὶ τοῖς τούτων πετάλοις οἷα τερπνὰ φυτὰ σκεπόμενοι ληΐων δίκην φαιδροὶ διαμείνωμεν. τεσσαρισκαιδεκάτην δὲ τοῦ μηνὸς λέγει οὐ*
C *κατὰ τὸν ἡλιακὸν κύκλον, ἀλλὰ κατὰ τὴν σελήνην. Ἑβραίων*

2. σωτηριώδου V. 8. θεοῦ] Numer. IX. 4. 10. τεσσαρεσκ P. 11. τεθηλῶτες PV. 12. δὲ τεσσαρεσκ. P. 15. πλήρης V. 19. οὐ κατ. τεσσαρεσ. P.

De sancto ac salutari anni cujuslibet Legali Paschate, ac de quaestionibus ad illud spectantibus, brevis cum demonstratione solutio.

Sanctum ac beatum Dei Pascha perspicue omnino Lex praescribit, simulque quo fieri illud debet mensem indicat, et quo die jubetur observari, idque cum plurima accuratione. Vox quippe Dei in Legem illapsa est, qua praecipitur observari mensis Novorum: *Et facies Pascha Domino Deo tuo quartadecima die primi mensis.* Mensem vero Novum dicit, quem et primum vocat, in quo germinantes fructus veterum praenuntiant cessationem. Quartadecima autem primi mensis nulla alia ratione observari Pascha praecipit, nisi ut luminis instar Lunae plenum suum habentis circulum, nos perinde plenum habentes mentis luminare, in peccati tenebris non immoremur: quinimmo omnis generis florentes virtutibus, earumque foliis, jucundae veluti plantae, operti, segetum instar venusti permaneamus. Quartamdecimam vero mensis ait, non secundum solarem cyclum, sed juxta lunarem. Hebraeorum enim filii non ex solari,

γὰρ παῖδες οὐκ ἐκ τοῦ ἡλιακοῦ δρόμου, ἀλλ' ἐκ τοῦ τῆς σελήνης κύκλου τὸν μῆνα ποιεῖν ἐπαιδεύθησαν, ἐπειδὴ καὶ ὁ μὴν κατὰ τὸ ὄνομα τῆς σελήνης λέγεται· μήνη γὰρ αὕτη ὀνομάζεται ἑλλάδι τῇ φωνῇ. Αἰγύπτιοι γοῦν πρῶτοι διὰ τὸ τὸν τῆς σελήνης δρόμον ἐξώτατον εἶναι, καὶ ἐκ τούτου συμβαίνειν πλάνην τῶν ἡμερῶν παρά τισι γίνεσθαι, ἐξ ἡλίου τὰς τοῦ μηνὸς ἡμέρας ἐπενόησαν ψηφίζεσθαι, βραχύτερον τοῦ τῆς σελήνης κατὰ τὸν ἑαυτοῦ δρόμον κινουμένου, ὡς καὶ δυναμένου τούτου ῥᾷον καταλαμβάνεσθαι. τούτων τοίνυν οὕτως ὄντων, πολλοὶ καὶ τὸν πρῶτον μῆνα τοῦ ἐνιαυτοῦ, συντέλειαν ὄντα τῆς χειμερινῆς τροπῆς, ὡς πρῶτον δεύλου τάττουσι. τοῦτο δὲ ποιοῦσιν ἀγνοοῦντες ὅτι D
τῆς ἐαρινῆς τροπῆς ἀρχομένης ἀπὸ τῆς πρὸ ιβ' καλανδῶν ἀπριλίων τυγχάνει, ὅ ἐστι φαμενὼθ κε', κατὰ δὲ Σύρους Ἀντιοχέας καὶ Μακεδόνας δύστρου μιᾷ καὶ εἰκάδι κατὰ τὸν ἡλιακὸν δρόμον, ἣν ἐπιτηρεῖν προσήκει μάλιστα, μή πως ταύτης κατωτέρω πεπλανημένως τις τὴν τεσσαρισκαιδεκαταίαν κατὰ σελήνην τάξας διαμάρτῃ τοῦ πάσχα, ὡς τοῦ πρώτου μηνὸς νομίζων εἶναι ταύτην. οὐ γὰρ ἐν τῷ δωδεκάτῳ μηνὶ χειμερινῆς τροπῆς, ὡς προεῖπον, οὔσης, ὁ τῶν νέων τάττεται μήν, οὔπω τὸν καρπὸν τῶν νέων πεπονημένων οὐδὲ δυναμένου δρεπάνου ἐν ἀμητῷ πέμπεσθαι· P 17
τοῦτο γὰρ μάλιστα σημεῖον τοῦ πρώτου μηνὸς ὁ θεῖος ἔταξεν νόμος. ἀλλ' ἐπεὶ συμβαίνει προφάσει τῆς τεσσαρισκαιδεκαταίας κατὰ σελήνην τοῦ αὐτοῦ πρώτου μηνὸς εἰς πλάνην ἐμπίπτοντάς

12. ἀπὸ] ἥτης supra versum V. ib ἀπριλλίων P. 15. μήπω ταύτης PV. ibid. πεπλανημένος P. 22. τεσσαρεσκ. P.

sed ex lunari cursu mensem compingere sunt edocti, cum mensis ex Lunae nomine dicatur: Mene quippe Graeca lingua illa appellatur. Primi igitur Aegyptii, propterea quod Lunae cursus extimus est, ex eoque contingit a quibusdam in diebus peccari, mensis dies ex sole putari adinvenerunt, brevius Luna secundum cursum suum se movente, cum id facilius queat comprehendi. His igitur ita se habentibus primum mensem, qui hibernum solstitium absolvit, ut primum omnino statuunt complures: in quo quidem ita versantur, quod eum existere ignorent verno solstitio, quod initium sumit ab ante diem XII. Kalendas Aprilis, quod est Phamenoth XXV. secundum vero Syros, Antiochenos, et Macedones, Dystri XXI. juxta cursum solarem. Idque maxime observare convenit, ne quis deceptus, infra illud quartadecima Lunae posita, in Paschate erret: ut qui primi mensis illam esse existimet. Neque enim, ut superius dixi, si in duodecimo mense existat hibernum solstitium, mensis Novorum recte statuitur, quo fructum Novi nondum conficiunt, neque falx in messem immitti potest: istud enim signum primi mensis divina Lex statuit. Sed cum accidat, ut praetextu decimaequartae Lunae mensis primi, in erro-

τινας, ἀπαντώσης αὐτῆς ἐν κυριακῇ ἢ ἐν σαββάτῳ, περιλύειν τὰς νηστείας, τρεισκαιδεκάτης εὑρισκομένης τότε κατὰ σελήνην, ὡς ξένα τοῦ νόμου πράττειν, τοῦτο σκοπεῖν προσήκει, ὅτιπερ εἰ συμβῇ τὴν αὐτὴν τεσσαρισκαιδεκαταίαν τῆς σελήνης ἐν κυριακῇ εὑρίσκεσθαι, εἰς τὴν ἑξῆς ἑβδομάδα ἄμεινον ὑπερτίθεσθαι δύο τούτων ἕνεκα, πρῶτον μέν, ἵνα μὴ τρεισκαιδεκαταίας κατὰ σελήνην σαββάτου τότε εὑρισκομένου περιλύσωμεν τὰς νηστείας· ὅπερ οὐκ V 15 B ἀκόλουθον, τοῦ νόμου τοῦτο μὴ προστάξαντος, ἀλλὰ καὶ τοῦ φωστῆρος τῆς σελήνης ἔτιπερ ἀτελοῦς περὶ τὸν κύκλον τὸν ἑαυτοῦ ὄντος· ἔπειτα ἵνα μὴ καὶ κυριακῆς οὔσης καὶ τεσσαρισκαιδεκαταίας κατὰ σελήνην ὑπαρχούσης ἀναγκασθῶμεν νηστεύειν, ἀπρεπὲς πρᾶγμα ποιοῦντες· Μανιχαίων γάρ ἐστιν ἴδιον πρᾶγμα τὸ τοιοῦτον. οὐκοῦν ἐπειδὴ οὔτε τῆς τεσσαρισκαιδεκαταίας κατὰ σελήνην ἐν κυριακῇ εὑρισκομένης νηστεύειν δεῖ οὔτε ἀκόλουθον ἐν σαββάτῳ τρισκαιδεκάτης ἀπαντώσης περιλύειν τὰς νηστείας, ἀναγκαία ἡ ὑπέρθεσις εἰς τὴν ἑξῆς ἑβδομάδα, ὡς ὀλίγῳ πρόσθεν εἴρηται, οὐ παραλύσεως γιγνομένης ἐν τῷ πάσχα διὰ τῆς ὑπερθέσεως, ἀλλ' ὥσπερ ὁ δέκατος ἀριθμὸς περιλαμβάνει τὸν ἐννέα, οὕτως ἡ τεσσαρισκαιδεκαταία τῆς σελήνης ἐν κυριακῇ εὑρισκομένη διὰ τὸ μὴ δεῖν ἐν ταύτῃ νηστεύειν εἰς τὴν ἑξῆς ἑβ- C δομάδα ἡ ὑπέρθεσις γίγνοιτο, οὐ τοῦ πάσχα ἐλάττωσιν ποιοῦσα τῶν ἓξ ἡμερῶν ἡ ὑπέρθεσις περιλαμβανουσῶν καὶ τὰς ἄλλας. ἄλλως τε ἐπειδὴ ὁ σωτὴρ ἡμῶν τῇ μὲν τρισκαιδεκα-

6. τρισκ. P. 13. οὐδὲ PV. 18. δέκατος] Fort. δέκα.

rem quidam inducti occurrente illa die Dominica vel Sabbato, jejunia solvant, et tertia decima Lunae tum inventa, contra Legem agant, investigandum omnino, an quarta decima illa Lunae occurrat die Dominica: tum enim potius est ut in hebdomadem sequentem differatur, hisce duabus potissimum de causis.

Ac primum quidem, ut tertiadecima Lunae die Sabbato occurrente jejunia non solvamus, cum id minime Legi consentaneum sit, istud non praecipienti, quando luminare Lunae circa circulum suum adhuc imperfectum est. Deinde ut si Dominica cum quartadecima Lunae concurrat, jejunare, ac rem agere indecoram non cogamur, cum id proprium sit Manichaeorum. Quandoquidem igitur, neque quartadecima Lunae in diem Dominicam incidente, non est jejunandum, ut nec perinde tertiadecima Sabbato occurrente, jejunia solvenda, necesse est ut differatur in sequentem Dominicam, prout paulo ante dictum est, non soluto jejunio Paschatis die propterea quod dilatum sit, sed quemadmodum decimus numerus novem complectitur, sic quarta decima Lunae in diem Dominicam incidente, quia in illa non est jejunandum, in sequentem hebdomadem necessario differri debet, nulla exinde quoad Pascha facta imminutione, sex dilatis diebus alios comprehendentibus. Caeterum cum Salvator noster

ταίᾳ παρεδόθη, τουτέστι τῇ πέμπτῃ τοῦ σαββάτου, τῇ δὲ τεσ-
σαρισκαιδεκαταίᾳ ἐσταυρώθη, ἐν τριημέρῳ ἀναστάς, τουτέστι
τῇ ἑξκαιδεκάτῃ κατὰ σελήνην, ἥτις ηὑρέθη τότε ἐν κυριακῇ, ὡς
ἡ τῶν εὐαγγελίων ἔχει παρατήρησις, ἔχωμεν παραμύθιον τοῦ κα-
λῶς ποιεῖν τὸ πάσχα, κἂν ὑπέρθεσις γένηται διὰ τὴν καταλαβοῦ-
σαν ἀνάγκην. ἂν μὲν οὖν ἡ τεσσαρισκαιδεκάτη τοῦ ἁγίου πάσχα
ἔρχηται ἐν σαββάτῳ ἢ πρὸ τοῦ σαββάτου, ἐν ταῖς ἄλλαις τῆς ἑβ-
δομάδος ἡμέραις ἀραρότως τοῦτο ποιεῖν προσήκει· ἐὰν δὲ ἐν
κυριακῇ ἀπαντήσῃ ἡ τεσσαρισκαιδεκαταία τῆς σελήνης τοῦ πρώ-
του μηνός, ὑπερθετέον πάντως εἰς τὴν ἑξῆς ἑβδομάδα· ἡ γὰρ D
κυριακὴ πρώτη ἡμέρα τῆς ἑβδομάδος ἐστίν, ὡς προείρηται.

Ἐντεῦθεν λοιπὸν τῶν χρόνων τῶν ἀπὸ Ἀδὰμ τοῦ πρωτοπλά- R 38
στου ἀνθρώπου, ἤγουν ἀπ' ἀρχῆς κτίσεως κόσμου, ἐπιτομὴν
ἀναγκαῖον ποιήσασθαι τῶν συνᾳδόντων τῇ θεοπνεύστῳ γραφῇ
καὶ ταῖς ὑπὸ τῶν θεοφόρων πατέρων ἀνεπιλήπτως παραδοθεί- P 18
σαις καὶ τελουμέναις ὀρθῶς ἑορταῖς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ
καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

3. ἑκκαιδ. P. ib. εὑρέθη P. 9. ἀπαντήσει P. 12. Πέτρος Ἀλεξανδρείας superscribit editio Raderi (R), cujus cum Parisina consensum semper omisi, dissensum plerumque notavi. ib. ἀπὸ τοῦ Ἀδὰμ P. 13. ἀνθρώπου om. R. 17. καὶ ἀποστολικῇ om. R.

tertiadecima traditus, hoc est quinta Sabbati, quartadecima crucifixus sit, ac post tres dies resurrexerit, hoc est sextadecima Lunae, quae inventa est in Dominica, ut praefert Evangeliorum observatio. in recte peragendo Paschate, et si necessario differatur, liceat nosmetipsos solari. Sed et si quartadecima sancti Paschatis incurrat in Sabbatum, vel pridie Sabbati, caeterisque Hebdomadis diebus, firme id observare convenit. Si vero die Dominica occurrat decima quarta Lunae primi mensis, differendum omnino in sequentem hebdomadem; Dominica quippe dies est primus hebdomadis, ut supra dictum est.

Hinc deinceps annorum ab Adam primo hominum a Deo formato, seu a mundi conditi exordio, brevem historiam necesse est fieri, qui quam Deus inspiravit Scripturae, atque adeo inculpate traditis a Sanctis ac Deiferis Patribus, et rite celebratis festis in sancta Dei Catholica et Apostolica Ecclesia concinunt.

P 19
R 40
V 17

ΕΠΙΤΟΜΗ

ΧΡΟΝΩΝ

ΤΩΝ ΑΠΟ ΑΔΑΜ

ΤΟΥ ΠΡΩΤΟΠΛΑΣΤΟΥ ΑΝΘΡΩΠΟΥ ΕΩΣ Κ' ΕΤΟΥΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΗΡΑΚΛΕΙΟΥ ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΜΕΤΑ ΥΠΑΤΕΙΑΝ ΕΤΟΥΣ ΙΘ' ΚΑΙ ΙΗ' ΕΤΟΥΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΗΡΑΚΛΕΙΟΥ ΝΕΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΑΥΤΟΥ ΥΙΟΥ ΙΝΔΙΚΤΙΩΝΟΣ Γ'.

Ἀδὰμ πρῶτος ἀνθρώπων πλασθεὶς ἀπὸ τοῦ θεοῦ ἐγέννησεν δύο υἱούς, τὸν Ἄβελ καὶ τὸν Καΐν. εἶτα μετὰ τούτους ἐγέννησε καὶ τὸν Σήθ, ζήσας ἕως οὗ τοῦτον ἐγέννησεν ἔτη σλʹ.

Ἀδὰμ ἐπέζησεν ψʹ, ὁμοῦ ϡλʹ.

Inscr. υἱοῦ αὐτοῦ P. 3. Ἀδὰμ post ἐγέννησεν addit P sola. 4. Ἀδὰμ] Ἀδὰμ σλʹ R, om. P.

BREVIARIUM

ANNORUM AB ADAM

PRIMO HOMINUM A DEO FORMATO, AD XX. ANNUM IMPERII HERACLII PIISSIMI, AC POST CONSULATUM ANNUM XIX. ET IMPERII HERACLII, NOVI CONSTANTINI, ILLIUS FILII, ANNUM XVIII. INDICT. III.

Anni a mundo condito.

230. Adam primus hominum a Deo formatus duos procreavit filios, Abel et Cain. Deinde genuit Seth, cum annorum esset ccxxx. quando ille in lucem est editus.

Vixit praeterea Adam alios annos dcc. qui quidem anni simul collecti conficiunt annos dccccxxx.

Εἰς τὸν Ἀδάμ.

Οὗτος ὁ πρωτόπλαστος Ἀδάμ, ὃς ἠξιώθη εἰπεῖν περί τε ἑαυτοῦ καὶ τῆς ἰδίας γυναικὸς ὡς ἐξ εὐλογίας θεοῦ διὰ τῆς συναφείας εἰς σάρκα μίαν ἀμφότεροι συνάπτονται. ὅπερ καὶ ὁ κύριος μαρτυρεῖ ἐν εὐαγγελίοις λέγων τὸν θεὸν αὐτὰ εἰρηκέναι διὰ P 20 στόματος τοῦ Ἀδάμ, ὃς καὶ νυμφαγωγὸς αὐτοῦ ἐγένετο. ὁ δὲ ἀπόστολος Παῦλος κατεχρήσατο τούτῳ τῷ παραδείγματι μυστικώτερον ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ἐκλαβὼν αὐτῷ, καὶ τῆς ἐκκλησίας, λέγων, „τὸ μυστήριον τοῦτο μεγά ἐστιν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. καὶ γὰρ ὥσπερ ἡ κεφαλή ἐστιν ὁ Ἀδὰμ πάντων τῶν ἀνθρώπων ἐν τούτῳ τῷ κόσμῳ, ὡς αἴτιος αὐτῶν ὢν καὶ πατήρ, οὕτω καὶ ὁ δεσπότης Χριστὸς κατὰ σάρκα τῆς ἐκκλησίας κεφαλή ἐστι καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος. οὗτος πάλιν ἠξιώθη εἰκὼν θεοῦ κληθῆναι. ἐπὶ δὲ τοῦ δεσπότου Χριστοῦ κυριώτερον ἐκβέβηκεν, καθὼς καὶ ὁ ἀπόστολος λέγει, „ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου.“ οὗτος μόνος ἀνθρώπων καὶ πρῶτος ἐκ πλευρᾶς διὰ τοῦ θεοῦ προήνεγκε τὸ B θῆλυ ἀσπόρως. ὁ δὲ δεσπότης Χριστὸς κατὰ σάρκα μόνος R 42 ἀσπόρως ἄῤῥεν ἐκ τοῦ θήλεος παρήχθη, τὴν ἰσοτιμίαν καὶ τὸ χρέος τῆς φύσεως ἀναπληρώσας.

Οὗτος πρῶτος ἀνθρώπων ἀπατηθεὶς ὑπὸ τοῦ διαβόλου ἥμαρ- V 18

3. ἑαυτοῦ RV, αὐτοῦ P. 5. ἐν εὐαγγελίοις] Matth. XIX. 5. Marc. X. 8. Cor. I. 6. 16 7. Παῦλος om. P. 9. λέγων] Eph. V. 32. 12. αὐτῶν om. P. 15. ὁ om. P. 17. καὶ om. P. 19. ἀσπόρως ὡς ἄῤῥεν PV. *ibid.* θήλεως P.

De Adam.

Iste est primus a Deo formatus Adam, qui de se et uxore sua dicere meruit, ambos Dei benedictione per conjunctionem in unam carnem esse conjunctos. Quod et ipse testatur Dominus in Evangelio, dum ait, idipsum dixisse Deum per os Adam, qui et illius Paranymphus fuit. Paulus vero Apostolus hoc exemplo usus est mystico quodam sensu ad Dominum Christum et Ecclesiam accommodato, cum dicit: *sacramentum hoc magnum est: ego autem dico in Christo et Ecclesia.* Quemadmodum enim Adam omnium hominum est caput, cum horum ipse auctor et pater sit, ita et Dominus Christus secundum carnem Ecclesiae caput est, et pater futuri saeculi. Ille rursum meruit imago Dei appellari. Id vero in Dominum Christum verius convenit, sicut Apostolus ait, *Qui est imago Dei invisibilis.* Iste solus hominum primus ex latere suo, Dei virtute, feminam absque semine protulit. Dominus autem Christus solus absque semine, ut vir ex femina, procreatus, naturae aequalitatem ac debitum adimplevit.

Hic primus hominum a diabolo deceptus peccavit. Dominus Chri-

τεν. ὁ δεσπότης Χριστὸς ὑπὲρ τούτου τὸ χρέος ἀπέτισεν, σχίσας εὐλόγως τὸ χειρόγραφον καὶ καταπαλαίσας τὸν ἐχθρόν.

Εἰς τὸν Ἄβελ.

Οὗτος Ἄβελ ὁ δίκαιος, ὃς ἀδίκως ἀποθανὼν πρῶτος πάντων ἀνθρώπων ἔδειξεν σαθρὰ εἶναι τοῦ θανάτου τὰ θεμέλια. C διὰ τοῦτο καὶ ἀποθανὼν ἔτι λαλεῖ, προμηνύων τὴν τῶν νεκρῶν ἀνάστασιν, ἣν ὁ δεσπότης Χριστὸς πρῶτος πάντων ἐν ἑαυτῷ δείξας κατέλυσεν τοῦ θανάτου τὸ δοκοῦν κράτος. οὗτός ἐστιν Ἄβελ ὁ ὡς ἐν αἰνίγματι μιμητὴς τοῦ πάθους τοῦ Χριστοῦ ὑπάρχων, ὃς διὰ φθόνον ἀγαθῶν ἔργων ὑπὸ τοῦ ἀδελφοῦ ἀδίκως ἀπεκτάνθη· περὶ οὗ καὶ ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ φησιν, „ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ, καὶ κριτῇ θεῷ πάντων καὶ πνεύμασι δικαίων τετελειωμένων καὶ διαθήκης D νέας μεσίτῃ Ἰησοῦ καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.“

Σὴθ σε´,	ὁμοῦ υλε´.
ἐπέζησεν ψζ´,	ὁμοῦ ϡιβ´.

5. ἔδειξεν] ἔδειξε τὰ P. 11. Ἑβραίους] XIII. 22. 14. ἐν οὐρανοῖς ἀπογ. P. 16. Ἰησοῦ] θεοῦ PV.

Anni a m. c. stus pro hoc debitum exsolvit, discisso sapienter chirographo, hosteque devicto.

De Abel.

Hic Abel justus, qui primus ex hominibus injusta morte sublatus, infirma esse mortis fundamenta ostendit. Quamobrem licet mortuus adhuc loquitur, praenuntians mortuorum resurrectionem, quam Dominus Christus primus omnium in seipso demonstravit, quando mortis, quam habere videbatur, potestatem destruxit. Hic est Abel, qui in aenigmate Christi passionis imitator extitit, qui ex bonorum operum invidia a fratre injuste interfectus est: de quo et Apostolus Paulus in Epistola ad Hebraeos ait: *Sed accessistis ad Sion montem, et civitatem Dei viventis Hierusalem coelestem, et multorum millium Angelorum frequentiam, et Ecclesiam primitivorum, qui conscripti sunt in caelis, et judicem omnium Deum, et spiritum justorum perfectorum, et testamenti novi mediatorem Jesum, et sanguinem aspersionis melius loquentem quam Abel.*

231.	Seth 205.	Colliguntur anni 435.
	Supervixit 707.	coll. an. 912.

Ἐνὼς ρϞ',	ὁμοῦ χκε'.
ἐπέζησεν ψιε',	ὁμοῦ ϡε'.
Καϊνὰν ρο',	ὁμοῦ φϞε'.
ἐπέζησεν ψμ',	ὁμοῦ ϡι'.
Μαλελεὴλ ρξε',	ὁμοῦ ϡξ'.
ἐπέζησεν ψλ',	ὁμοῦ ωϞε'.
Ἰαρὲδ ρξβ',	ὁμοῦ ,αρκβ'. P 21
ἐπέζησεν ω',	ὁμοῦ ϡξβ'.
Ἐνὼχ ρξε',	ὁμοῦ ,ασπζ'.
ἐπέζησεν σ',	ὁμοῦ τξε'.

Περὶ τῆς προφητείας Ἐνώχ. R 44

Οὗτος προεφήτευσεν, λέγων, Ἰδοὺ κύριος ἔρχεται ἐν ἁγίαις μυριάσιν αὐτοῦ ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι τοὺς ἀσεβεῖς περὶ πάντων τῶν πονηρῶν ὧν ἐλάλησαν πρὸς αὐτοὺς ἁμαρτωλοὶ ἀσεβεῖς.

Οὗτός ἐστιν Ἐνὼχ πρὸς ὃν οὔτε ἡ ἀπόφασις τοῦ θανάτου ἐκράτησεν· μετετέθη γὰρ ὑπὸ τοῦ θεοῦ τοῦ μὴ ἰδεῖν θάνατον, καθὰ τῇ θείᾳ γραφῇ δοκεῖ, ὅπως καὶ διὰ τούτου προμηνυθῇ B
ἡμῖν ὡς οὐ κρατήσει ἐπὶ τῶν ἀνθρώπων ὁ θάνατος, ἀλλὰ λύσιν δέξεται τὰ κατ' αὐτῶν, ὥσπερ καὶ γέγονεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, καταλυθέντος αὐτοῦ τοῦ κράτους.

5. *Μαλαλεὴλ* P, *Μελελεὴλ* m. R. 7. *Ἰερὰδ* P. 12. *λέγων*] Iud. Epist. 14. 20. *δέξηται* R.

		Anni a m. c.
Enos 190.	coll. an. 625.	436.
Supervixit 715.	coll. an. 905.	
Cainan 170.	coll. an. 795.	626.
Supervixit 740.	coll. an. 910.	
Malaleel 165.	coll. an. 960.	796.
Supervixit 730.	coll. an. 895.	
Ierad 162.	coll. an. 1122.	961.
Supervixit 800.	coll. an. 962	
Enoch 165.	coll. an. 1287.	1123.
Supervixit 200.	coll. an. 365.	

De Prophetia Enoch.

Hic prophetavit, dicens, *Ecce Dominus venit in sanctis millibus suis facere judicium contra omnes, et arguere impios de omnibus malis, quae locuti sunt ad eos peccatores impii.*

Iste est Enoch, in quem mortis sententia non praevaluit: translatus est enim a Deo, ne videret mortem, ut sacrae literae testantur, quomodo et nobis per illum significatum est: *Mors in homines non praevalebit, sed exceptionem habebunt quae in illos decreta sunt, quemadmodum in Domino Christo accidit, destructo illius imperio.*

Οὗτός ἐστιν Ἐνὼχ ὁ μετατεθεὶς εἰς ζωὴν εἰς δεῖγμα τῆς τοῦ θεοῦ δυνάμεως ταῖς μετὰ ταῦτα γενεαῖς τῆς δυναμένης διατηρῆσαι τοὺς θνητοὺς μὴ ἀποθανεῖν, ἀλλὰ ζῶντας τὴν ἐπὶ τὸ κρεῖττον ἀλλαγὴν ὑπομένειν.

Οὗτός ἐστιν ὁ ἅμα τῷ Ἡλίᾳ ἐν ἐσχάταις ἡμέραις ἀντικαθιστάμενος τῷ Ἀντιχρίστῳ καὶ ἐλέγχων τὴν πλάνην αὐτοῦ κατὰ τὴν τῆς ἐκκλησίας παράδοσιν.

C *Οὗτός ἐστιν ὁ διὰ πίστεως καὶ εὐαρεστήσεως ἐκφυγὼν τὴν ὁδὸν τοῦ θανάτου.*

Μαθουσάλα ρπζ',	*ὁμοῦ ͵αυοδ'.*
ἐπέζησεν ψξβ',	*ὁμοῦ ϡμθ'.*
Λάμεχ ρπη',	*ὁμοῦ ͵αχξβ'.*
ἐπέζησεν φξε',	*ὁμοῦ ψνγ'.*
Νῶε φ',	*ὁμοῦ ͵βρξβ'.*

Νῶε ἔσχεν τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ.

Σήμ ρ',	*ὁμοῦ ͵βσξβ'.*

V 19 *Ἐν τῷ ἑκατοστῷ ἔτει τοῦ Σήμ, ἑξακοσιοστῷ δὲ τοῦ Νῶε*
D *καὶ ͵βσξβ' ἔτει γενέσεως κόσμου ἐγένετο ὁ κατακλυσμὸς ἐπὶ τῆς γῆς· τοσαῦτα δὲ μέχρι τὸν ἐνταῦθα καὶ ὁ Ἀφρικανὸς συνήγαγεν, ἐπειδὴ καὶ τὰ ἀκριβῆ τῆς Γενέσεως βιβλία ρπζ' φαίνει τοῦ Μαθουσάλα ἔτη, καὶ οὕτως αὐτὸν γεννῆσαι τὸν Λάμεχ. ἐγέ-*
R 46 *νετο δὲ ὁ κατακλυσμὸς ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ δευτέ-*

11. ὁμοῦ in m. supplet R. 15. καὶ τὸν Ἰ. P. 19. ἐπήγαγεν P.

Anni a m. c. Hic est Enoch ad vitam translatus, in Dei virtutis specimen venturis generationibus, quae prohibere potest ne homines moriantur, ut dum superstites sunt, mutationem in melius expectent.

Hic est qui una cum Helia ultimis temporibus Antichristo obsistet, illiusque redarguet imposturas, secundum Ecclesiae traditionem.

Hic est qui per fidem et placabilitatem mortis semitam devitavit.

1288.	Mathusala 187.	Colliguntur anni 1474.
	Supervixit 762.	coll. an. 949.
1475.	Lamech 188.	coll. an. 1662.
	Supervixit 565.	coll. an. 753.
2163.	Noe 500.	coll. an. 2162.

Habuit Noe tres filios, Sem, Cham, et Japhet.

Sem 100.	coll. an. 2262.

Anno Sem centesimo, Noe sexcentesimo, et a mundo condito ɪɪᴍ. ᴄᴄʟxɪɪ. diluvium in terra extitit: tot annos ad illud usque numeravit Africanus, siquidem accurati Geneseos libri ᴄʟxxxᴠɪɪ. annum Mathusala attigisse ostendunt, cum Lamech generavit: *Factum vero est diluvium septimo et vicesimo die mensis secundi in terra, quod quadraginta duravit*

ρου ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας, καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. καὶ ἠλαττονοῦτο τὸ ὕδωρ ἕως τοῦ δεκάτου μηνός. ἐν δὲ τῷ ἑνδεκάτῳ μηνὶ τῇ πρώτῃ τοῦ μηνὸς ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. καὶ μετὰ τεσσαράκοντα P 22 ἡμέρας ἠνέῳξεν Νῶε τὴν θύραν τῆς κιβωτοῦ, καὶ ἀπέστειλεν τὸν κόρακα τοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ. καὶ ἐν τῷ πρώτῳ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε τοῦ πρώτου μηνὸς μιᾷ τοῦ μηνὸς ἐξέλιπεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς. ἐν δὲ τῷ μηνὶ τῷ δευτέρῳ ἑβδόμῃ καὶ εἰκάδι μηνὸς ἐξηράνθη ἡ γῆ.

Εἰσὶν ἀπὸ Ἀδὰμ ἕως Νῶε γενεαὶ ι΄.

Τὰ προκείμενα εἰπόντες διδάξομεν καὶ διὰ ποίαν αἰτίαν ὁ κατακλυσμὸς ἐγενήθη καὶ διὰ τίνας, ἵνα μή τινες τὸν θεὸν τῆς φθορᾶς αἴτιον εἰσηγήσωνται, εἰ καὶ ἐν ἄλλοις χρονογράφοις οὐ δηλοῦται οὔτε περὶ τούτου οὔτε περὶ τῆς πυργοποιίας· ἴσως γὰρ B πολλοὶ διαποροῦσι· δείξομεν οὖν ἐκ τῆς θείας γραφῆς. φησὶν ἡ Γένεσις, „καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γενέσθαι ἐπὶ τῆς γῆς καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο. καὶ

5. ἐνδεκάτῳ] δεκάτῳ Raderus et P. 8. κεκοπίακε P sola. 10 ἐξέλειπεν V. 15. αἴτιον] αἴτιος R, m. αἴτιον. *ibid.* ἡγήσονται P. 18. Γένεσις] VI. 1. 21. πασῶν] πάντων PV.

dies, et noctes: et minuebatur aqua post centum et quinquaginta dies, et sedit Arca. in mense septimo, septima et vicesima die mensis, super montes Ararat. Et decrescebat aqua usque ad decimum mensem. In decimo vero mense, primo die mensis, apparuerunt vertices montium; et post quadraginta dies, aperuit Noe fenestram Arcae, et emisit corvum, ut videret an defecissent aquae. Et in primo et sexcentesimo anno vitae Noe primi mensis, prima die mensis, defecit aqua de terra. Altero vero mense, septimo et vicesimo mensis siccata est terra.

Ab Adam usque ad Noe X. sunt generationes.

Proposito insistentes argumento doceamus qua de causa, et propter quos factum est diluvium, ne quidam extent qui corruptionis auctorem Deum existiment. Tametsi porro apud alios chronographos, nec de eo, nec de turris aedificatione quidquam dicatur, cum de iis subdubitent complures, idipsum ex sacra Scriptura demonstrabimus. Sic igitur liber Geneseos. *Et factum est, cum coepissent homines multiplicari super terram, et filias procreassent, videntes Angeli Dei filias hominum, quod essent pulchrae, acceperunt sibi uxores ex omnibus quas elegerant, dixit-*

εἶπεν ὁ θεός, Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη."

Οὓς ἀγγέλους ὠνόμασεν θεοῦ, οὐχὶ ἐκ τῶν οὐρανῶν, ἄπα-
C γε· ἐκεῖνοι γὰρ νοεροὶ καὶ ἀσώματοι ἄγγελοι· τούτους δὲ ἀνθρώπους καλεῖ ὀνομαστοὺς καὶ σαρκικοὺς καὶ θνητούς· φησὶ γάρ, „διὰ τὸ εἶναι αὐτοὺς σάρκας." τινὲς δὲ τῶν ἑρμηνέων ἐπ' ἀληθείας διδάσκοντες ἐξέδωκαν ὅτι τὸ ἐκλεκτὸν γένος τοῦ Σὴθ ἄγγελοι τοῦ θεοῦ παρὰ τοῦ Μωϋσέως ὠνομάσθησαν: αὐτὴ ἡ Γένεσις διδάξει, ἐπειδὴ φθονοκτονίας καὶ μισαδελφίας καὶ ἀρνησοθείας ἐκ τῆς φυλῆς τοῦ Καῒν ἐπικρατούσης πρῶτοι οἱ τοῦ Σὴθ
R 48 ἤρξαντο ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου, ὅπερ ἐστὶν ἀγγελικὸς ὕμνος. φησὶ γὰρ ἡ Γένεσις, „τῷ δὲ Σὴθ ἐγεννήθη υἱός· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς. οὗτος ἤρξατο ἐπικαλεῖσθαι
D τὸ ὄνομα κυρίου τοῦ θεοῦ." ταῦτα ἡ Γένεσις.

Οὗτοι οὖν οἱ τοῦ Σὴθ ἀγγέλοις ὁμοιωθέντες καὶ ἀγγελικὸν ὕμνον ἐπικαλεσάμενοι ἐκείνοις τοῖς ἀποβλήτοις τοῦ Καῒν συνήφθησαν, καὶ τὸ θεῖον ὠργίσθη. φησὶ γὰρ ἡ Γένεσις, „οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας."

Συναφθέντες οὖν οὗτοι ἐκείνοις καὶ τέκνα ποιήσαντες τὴν ἡλικίαν μεγίστους, γίγαντας αὐτοὺς ἐκάλεσεν ἡ θεία γραφή. ἀκου-

4. ὠνόμασεν ἀγγέλους P. 7. τῶν om. P. 9. Γένεσις] IV. 26. 16. τοῦ Σὴθ om. V. 21. ἐκείναις P sola. *ibid.* καὶ ante τέκνα om., ponit ante γίγαντας P sola. *ibid.* ἐποίησαν P sola. 22. θεία om. P.

que Deus: non permanebit spiritus meus in hominibus istis in aeternum, quia caro sunt. Erunt autem dies annorum ipsorum centum viginti anni.

Quos vocavit Angelos Dei, non ii intelliguntur qui e coelis sunt: absit, sed intellectuales et incorporei Angeli: hos quippe famosos homines, et carnales mortales, vocat, dum ait, *Quia caro sunt.* Atque id nonnulli interpretes recte docuerunt ac tradiderunt. Selectam vero Seth progeniem Angelos Dei a Moyse esse appellatam, ipsa docebit Genesis. Cum enim caedis ex invidia factae, et fraterni odii ac Dei abdicationis rei essent qui erant ex Cain Tribu, primi ex Tribu Seth coeperunt Domini nomen invocare, quod est Angelicus hymnus. Scribitur enim in Genesi: *Seth vero natus est filius; vocavit autem nomen ejus Enos. Hic coepit invocare nomen Domini Dei.* Haec Genesis.

Hi ergo filii Seth Angelis similes facti, et Angelicum hymnum invocantes, damnatis illis ex Cain prognatis adhaeserunt, Deusque in iram conversus est. Ait enim Genesis: *Non permanebit spiritus meus in hominibus istis in aeternum, eo quod caro sunt.*

Isti igitur illis copulati, procreatis ingentis staturae liberis, hos gi-

σον τῆς Γενέσεως λεγούσης „οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν
ταῖς ἡμέραις ἐκείναις. ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ V 20
πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννῶσαν ἑαυτοῖς,
ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομα- P 23
στοί,“ οὓς ἄνω ἀγγέλους θεοῦ ὠνόμασεν, τοὺς ἐπικαλουμένους τὸ
ὄνομα κυρίου τοῦ θεοῦ, τούτους καὶ υἱοὺς θεοῦ ἐνταῦθα προσ-
ηγόρευσεν. ταῦτα μὲν ἡ γραφή. ἐπεὶ δὲ οὗτοι οἱ ἄγγελοι παρά
τισι θεοὶ ὠνομάσθησαν καὶ προσεκυνήθησαν, παρὰ μὲν Χαλ-
δαίοις πρῶτος ὁ ἄρξας αὐτῶν Ἄλωρος καὶ μετ' αὐτὸν Ἄλαπρος
καὶ οἱ λοιποὶ οἱ ἄρξαντες αὐτῶν. τούτους ἠνίξατο ἡ γραφὴ λέ-
γουσα, „οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.“
καὶ ταῦτα μέν, ὡς ἐδίδαξαν οἱ τὰ αὐτῶν ἀναγράψαντες Βή-
ρωσος καὶ οἱ μετ' αὐτόν· ἐξ ὧν Ἰώσηπος ἀφορμὰς ἔλαβεν
περὶ τούτων ἀναγράψασθαι. μαρτυρῶν γὰρ αὐτῷ ἐν τῷ πρώ-
τῳ λόγῳ τῶν περὶ ἀρχαιολογίας αὐτοῦ ἔφη λέγων, „Βήρωσος, B
ἀνὴρ Χαλδαῖος μὲν τῷ γένει, γνώριμος δὲ τοῖς περὶ παιδείαν
ἀναστρεφομένοις, ἐπειδὴ περὶ ἀστρονομίας καὶ περὶ τῶν παρὰ
Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε
τὰς συγγραφάς.“ καὶ ταῦτα μὲν Ἰώσηπος. καὶ τί με δεῖ λέγειν
εὐθέως ἐκ τῶν ἔξωθεν μαρτυρίας λαβόντα, ὁπότε καὶ ὁ τῆς κα-
θολικῆς ἡμῶν ἐκκλησίας Ἐπιφάνιος ὁ Κύπρου ἐν τοῖς Πανaρίοις

1. Γενέσεως] VI. 4. 2. ἐκείναις] καὶ μετ' ἐκεῖνο addit Genesis. 3. αὐτοῖς P. 8. καὶ προσεκυνήθησαν om. P. 10. λοιποὶ ἄρξαντες P. 13. αὐτῶν PV. ibid. Ἰώσηππος P sola. 14. ἐν τῷ πρώτῳ τῶν περὶ ἀρχαιολογίας] Immo c. Apion. I. 19. 16 τὸ γένος P. ibid. παιδείας R. 17. ἐπειδὴ Iosephus, ἐν τῇ RV. ibid. περὶ] περί τε P sola. ibid. παρὰ om. P sola. 21. Ἐπιφάνιος] I. 4. p. 4. C. ed. Petav.

gantas appellavit Scriptura. Audi Genesin dicentem: *Gigantes autem erant super terram in diebus illis. Postquam enim ingressi sunt filii Dei ad filias hominum, illaeque genuerunt, isti sunt potentes a saeculo, viri famosi.* Quos supra Angelos Dei, nomen Domini Dei invocantes, hos et filios Dei hic appellat. Atque haec quidem Scriptura. Hi praeterea Angeli a quibusdam Dii vocati sunt. Apud Chaldaeos primus iis imperavit Alorus, et post illum Alapras, et qui iis successere. Hos indicavit Scriptura, dicens: *Gigantes a saeculo homines nominati.*

Et haec quidem scriptis mandarunt, qui res eorum sunt prosecuti, Berosus scilicet, et qui post illum scripsere: ex quibus occasionem arripuit Josephus quidpiam de iis conscribendi. Hunc enim testem laudans in primo Antiquitatum libro, haec ait: *Berosus vir genere quidem Chaldaeus, iis notus qui eruditioni student: ut qui de Astronomia et Chaldaeorum Philosophia libros Graece ediderit.* Et ista quidem Josephus. Enimvero quid mihi opus est in testes advocare Scriptores Gentiles et Prophanos, cum ex Catholica nostra Ecclesia Epiphanius Cypri Episcopus

αὐτοῦ γράφει, „ἡ δὲ παράδοσις ἡ εἰς ἡμᾶς ἐλθοῦσα, ἤρξατο
ἡ κακομηχανία ἐν κόσμῳ γίνεσθαι, καὶ ἀπ' ἀρχῆς μὲν διὰ τῆς
B 50 τοῦ Ἀδὰμ παρακοῆς, ἔπειτα δὲ διὰ τῆς τοῦ Κάϊν ἀδελφοκτονίας.
εἶτα δὲ ἐν χρόνοις τοῦ Ἰάρεδ καὶ ἐπέκεινα φαρμακεῖαι καὶ μαγεῖαι
C καὶ ἀσέλγειαι καὶ ἀδικία ἐχρημάτισεν.“ ἀλλὰ καί τινες τὸν Ἀδὰμ
σὺν τῇ Εὔᾳ καὶ τὸν ὄφιν γενέσθαι προηγόρευσαν, ἀλλὰ μὴν καὶ
τὸν Κάϊν καὶ τὸν Σήθ.

Ἐπεὶ οὖν τοιαῦτα εἶχον οἱ ἄνθρωποι θεοὺς ὀνομάσαι καὶ προσκυνῆσαι ὁμοίους αὐτῶν ἀνθρώπους, τὸν δὲ ἀληθινὸν θεὸν ἐπιλαθέσθαι, πάλιν ἡ Γένεσις, „ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, διενοήθη ὁ θεὸς ἀπαλεῖψαι τὸν ἄνθρωπον. καὶ μεθ' ἕτερα, „καὶ εἶπεν ὁ θεὸς πρὸς Νῶε, Ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν· ποίησον σεαυτῷ κιβωτόν.“ καὶ ταῦτα μὲν ἡ Γενεαλογία. ὅθεν καὶ Πέτρος ὁ ἀπόστολος ἀφηγεῖται Κλημέῳ λέγων, „ἑνί τινι δικαίῳ
D μετὰ τῶν ἐξ αὐτοῦ Νῶε σὺν τοῖς ἐξ αὐτοῦ ἐν λάρνακι διασώζεσθαι προαγγείλας ὕδωρ εἰς κατακλυσμὸν ἐπήγαγεν, ἵνα πάντων τῶν ἀκαθάρτων ὀλοθρευθέντων ὁ κόσμος καθαρισθῇ, ἐν αὐτῇ τῇ λάρνακι διασωθεὶς εἰς δευτέραν περιουσίαν καθαρὸς ἀποδοθῇ.“ ὅμως καὶ τούτων γενομένων οἱ ἄνθρωποι ἤρξαντο ἀσεβεῖν.

1. ἡ εἰς] εἰς P sola. 4. καὶ μαγεῖαι om. P. 5. ἀδικίαι ἐχρημάτισαν P sola. 6. γενέσθαι] (θεοὺς) add. P. *ibid.* προσηγόρευσαν P sola. 10. Γένεσις] VI. 5. 14. σεαυτῷ] δὲ αὐτῷ P. 15. ἑνί Ducangius, ἓν RV. 16. Νῶε σὺν τοῖς ἐξ αὐτοῦ delet Holstenius, τριῶν σὺν ταῖς αὐτῶν γυναιξὶν Clemens Homil. VIII. 17. p. 678. ed. Cotel. 17. προαγγείλας restitui ex Clemente. προανηγγέλη V, προανήγγελεν R, προανήγγειλεν P. *ibid.* ὕδωρ — ἐπήγαγεν om. P. 18. ἀκαθάρτων Ducangius, ἀκαίρων RV. 19. καθαρὸς Ducangius, καθαρῶς RV.

In Panariis suis scribat: *Traditio ejusmodi est quae ad nos pervenit: Hinc in mundo coepit esse improbitas: et ab initio quidem per Adami inobedientiam, deinde per Caini parricidium, et fratris interfectionem: Exinde temporibus Jared, et deinceps, veneficia, lasciviae, et injustitia regnavere.* Quinetiam nonnulli Adam, Evam et serpentem Deos appellarunt, atque adeo Cain et Seth.

Cum igitur ita se gererent mortales, ut Deos appellarent colerentque sibi similes homines, veri autem Dei obliviscerentur, rursum liber Geneseos haec ait: *Videns autem Deus quod multa malitia esset hominum super terram, cogitavit Deus delere hominem.* Et post alia: *Dixit Deus ad Noe: Ecce ego disperdam eos cum terra. Facias tibi Arcam.* Et haec quidem liber Geneseos. Unde et Petrus Apostolus Clementi exponit, dicens: *Uni cuidam viro justo Noe, cum liberis, eorumque uxoribus, in Arca salvari praenuntiavit, ita ut impiis peremptis, purificationem mundus acciperet, et in ipsa Arca reservatus ad posteritatem generis, purus redderetur: sed his omnibus gestis rursus homines impie agere coeperunt.*

Εἰς τὸν Νῶε. [P 24 B]

Νῶε δίκαιος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, ὁ ἀκούσιον μέ- [V 21] θην ὑπομείνας καὶ θεωρήσας ἐν αὐτῇ μυστήρια. φησὶ γὰρ ἡ γραφή, „ἐξένηψεν δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.“ καὶ μετὰ τὸ αὐτῷ προειπεῖν ὡς ἐν τάξει κατάρας τὰ μέλλοντα λέγει καὶ τοῖς ἄλλοις ὡς ἐν τάξει εὐλογίας τὰ ἐσόμενα, καί φησιν, Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ· τρόπον γάρ τινα οὔτε τῷ πρώτῳ κατηράσατο οὔτε τούτους ηὐλόγησεν, ἀλλὰ πρόῤῥησιν ἐξεῖπε μυστηρίων διὰ τοῦ δεσπότου Χριστοῦ ἐκτελουμένων· οὔτε γάρ ποτε ἐδούλευσαν τοῖς ἀδελφοῖς αὐτῶν οἱ τοῦ Χαναάν, ἀλλὰ μᾶλλον ἐκεῖνοι τούτοις ἐδούλευσαν ἐν Αἰγύπτῳ, ἀλλ᾽ οὔτε οἱ Γαβαωνῖται, ὥς τινες ὑπενόησαν, ἐδούλευσαν αὐτοῖς, ἀλλὰ τῷ θεῷ ἐδούλευον· ξυλο- [C] φόρους γὰρ καὶ ὑδροφόρους τῷ ναῷ τοῦ θεοῦ αὐτοὺς κατεστήσαντο· οὐ γὰρ ἑαυτοῖς. τί οὖν ἐστιν ἢ πάντως πρόῤῥησίς ἐστιν, ὡς τῷ κυρίῳ δουλεύσουσι καὶ αὐτοὶ τῷ ἐκ τοῦ Σὴμ ὑπάρχοντι [R 52] κατὰ σάρκα; τὸ δὲ „εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ“ τί τὰ πρὸς τὸν Σήμ, εἰ ὁ θεὸς εὐλογητός ἐστιν; ἀλλ᾽ ἐπιφέρει, „πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ὡσανεὶ ὁ θεὸς ἐν τοῖς σκηνώμασι τοῦ Σήμ. λοιπὸν „πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ.“ καὶ γὰρ καὶ τῷ Ἰάφεθ καὶ τῷ Χαναὰμ ἐπλάτυνεν· καὶ πάλιν ἀμφότεροι τῷ Χριστῷ δουλεύουσιν τῷ ἐκ τοῦ Σὴμ ὑπάρχοντι. πά- [D]

4. *γραφή*] Genes. IX. 24. *ib.* *Νῶε* om. R. 5. ὁ alterum om. P. 12. οἱ om. P. 17. *κύριος* om. P. 18. *πλάτυνεν* R, *πλατύναι* m. 21. *τῷ Χαναὰμ*] *τῷ* om. P. *ibid.* *Χαναὰν* R.

De Noe.

Noe justus et perfectus in generatione sua, cum imprudens nolensque in ebrietatem incidisset, arcana quaedam mysteria in ea vidit; ait enim scriptura: *Evigilavit autem Noe ex vino, et cognovit quaecumque fecisset ei filius suus minor.* Et postquam illum est allocutus, imprecationis, aliis vero benedictionis vice, futura ac eventura praedicit, dum ait, *Benedictus Deus Sem.* Neque enim primo quodammodo imprecatus est, neque huic benedixit, sed mysteriorum praedictionem est effatus, quae per Dominum Christum adimpleta sunt: nam filii Chanaan fratribus suis nunquam servierunt, quin potius illi iis servierunt in Aegypto. Sed et neque Gabaonitae, uti suspicati sunt quidam, iis servierunt, sed Deo: lignatores enim et aquarios Templo Dei illos imposuerunt, non vero sibi. Quid igitur aliud est, quam mera praedictio, illos ipsos qui ex Sem secundum carnem nasciturus erat Domino servituros? Illud autem; *Benedictus Dominus Deus Sem.* Quid haec ad Sem, si Deus est benedictus? sed infert: *Dilatet Deus Japhet, et habitet veluti Deus in tabernaculis Sem.* Deinde, *Dilata Deus Japhet.* Nam et Japhet et Chanaam dilatavit, ac rursum uterque Christo, qui ex Sem natus est, servivit. Omnes enim

σας γὰρ τὰς κατοικίας αὐτοῦ ὁ θεός, ἃς πρὸς τοὺς ἀνθρώπους ἐποιήσατο, μερικῶς μὲν ἐν τοῖς προφήταις, ὁλοτελῶς δὲ καὶ ἀδιασπάστως καὶ καθολικῶς ἐν τῷ δεσπότῃ Χριστῷ κατὰ σάρκα πεποίηται τοῖς ἐκ τοῦ Σὴμ ὑπάρχουσι, καθάπερ ἐπὶ τοῦ δεσπότου Χριστοῦ γέγραπται κατὰ σάρκα, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. τούτων οὖν τῶν ὀπτασιῶν καὶ αὐτὸς ἠξιώθη προειπεῖν τῶν κατὰ τὴν οἰκονομίαν τοῦ δεσπότου Χριστοῦ ἐκτελουμένων.

Αἱ τῶν αἱρέσεων πασῶν μητέρες τε καὶ πρόκριτοι καὶ ὀνομασταί εἰσιν αὗται, βαρβαρισμός, σκυθισμός, ἑλληνισμός, ἰουδαϊσμός· ἐξ ὧν μητέρων καὶ ἄλλαι ἐφύησαν αἱρέσεις.

P 24 Βαρβαρισμὸς οὖν, ἥτις καθ' ἑαυτήν ἐστιν διαρκέσασα ἀπὸ τοῦ Ἀδὰμ ἐπὶ δέκα γενεὰς ἕως τοῦ κατακλυσμοῦ Νῶε. βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ τοὺς ἀνθρώπους μὴ ἔχειν τινὰ ἀρχηγὸν ἢ μίαν συμφωνίαν, ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγένετο.

Ἐκ τῶν προκειμένων δέδεικται διὰ οὓς ὁ κατακλυσμὸς γέγονεν. εἴπωμεν δὲ λοιπὸν καὶ τὰ ἀπὸ τοῦ κατακλυσμοῦ.

Ἔζησε Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν'. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἔτη ϡν', καὶ ἀπέθανεν.

4. ἐκ τοῦ] ἑαυτοῦ R. 5. γέγραπται] Coloss. I. 19. 7. τῶν — ἐκτελουμένων] τὰ — ἐπιτελούμενα P sola. 17. ἐκ τῶν προειρημένων δέδεικται διὰ οὓς ὁ κατακλυσμὸς γέγονεν post 40. 20. ἤρξαντο ἀσεβεῖν, illa autem 9. αἱ δὲ τῶν αἱρέσεων — 20. ἀπέθανεν post κατακλυσμὸς γέγονεν posuerat Ducangius.

habitationes quas apud homines fecit Deus, particulatim quidem in Prophetis, perfecte autem et indiscrete ac universe in Domino Christo secundum carnem suis ex Sem descendentibus factae sunt: quemadmodum de Domino Christo scriptum est secundum carnem, *In quo habitat plenitudo Divinitatis corporaliter*. His ergo visionibus et ipse praenuntiare dignatus est quae ad procurandam generis humani salutem a Christo peracta sunt.

Sectarum porro omnium matres ac praecipuae, et celebres, eae sunt, Barbarismus, Scythismus, Graecismus, Judaismus, ex quibus caeterae sunt natae haereses.

Barbarismus est quaedam ad arbitrium vivendi ratio, cujusmodi extitit ab Adam per decem generationes usque ad Noe Diluvium. Barbarismus autem vocatur, quod nullum ducem haberent homines, neque invicem convenirent ac consentirent, sed quisque quod luberet sequeretur, ac sua singulis voluntas pro lege esset.

Ex praedictis igitur colligere licet propter quos diluvium factum sit. Nunc quae post diluvium evenerint dicamus.

Vixit Noe post diluvium annos CCCL. et facti sunt dies omnes Noe anni DCCCCL. et mortuus est.

Τὰ δὲ μετὰ τὸν κατακλυσμὸν ἔτη ἕως τῆς πυργοποιίας καὶ συγχύσεως τῶν γλωσσῶν τῆς γῆς εἰσιν ἔτη χνθʹ. P 25

Ἀρφαξὰδ ρλεʹ, ὁμοῦ ͵βτϟζʹ.
ἐπέζησεν τλʹ, ὁμοῦ υξεʹ
Καϊνάν ρλʹ, ὁμοῦ ͵βφκζʹ.
ἐπέζησεν τλʹ, ὁμοῦ υξʹ
Σάλα ρλʹ, ὁμοῦ ͵βχνζʹ. R 54
ἐπέζησεν τνʹ, ὁμοῦ υπʹ.

Πεʹ ἔτει τοῦ Σάλα Νῶε ἀπέθανεν.

Ἔβερ ρλδʹ, ὁμοῦ ͵βψϟαʹ.
ἐπέζησεν σοʹ, ὁμοῦ υδʹ.
Φάλεγ ρλʹ, ὁμοῦ ͵βϡκαʹ.
ἐπέζησεν σθʹ, ὁμοῦ τλθʹ.

Ἐν ταῖς ἡμέραις τοῦ Φάλεγ διεμερίσθη ἡ γῆ· διὸ καὶ σημαίνεται Φάλεγ τῇ Ἑβραίων φωνῇ μερισμός. κατὰ τοῦτον ἡ πυργοποιία συνίστη, καὶ ἀπὸ μιᾶς τῆς πάλαι διαλέκτου πολυφωνία γέγονε καὶ ἡ καθ᾽ ἕκαστον τῶν γλωσσῶν διαφορά, ὡς μέμνηται τούτων ἡ θεία γραφή, λέγουσα, „καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν καὶ φωνὴ μία πᾶσι. καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, ηὗρον πεδίον ἐν γῇ Σενναάρ, καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ, Δεῦτε πλινθεύσωμεν V 22

3. Ἀρφαχσάδ V. 9. ἔτει m. R, ἔτη PV. 18. γραφή] Genes. XI. 1. 19. ἐγένετο om. P. 20. Σεναάρ P.

Anni vero post diluvium usque ad turris aedificationem, linguarumque terrae confusionem, sunt DCLIX. Anni a m. c.

Arphaxad 135. Colliguntur anni 2397.
Supervixit 330. coll. an. 465.
Cainan 130. coll. an. 2527.
Supervixit 330. coll. an. 460.
Sala 130. coll. an. 2657. 2528.
Supervixit 350. coll. an. 480.

Anno LXXXV. Sala, Noe mortuus est.

Heber 134. coll. an. 2791. 2658.
Supervixit 270. coll. an. 404.
Phaleg 130. coll. an. 2921.
Supervixit 209. coll. an. 339.

In diebus Phaleg, terra partita est: unde Phaleg Hebraeorum lingua, est Partitio. Ejusdem tempestate, facta est turris aedificatio, et ab uno quod olim obtinuerat idiomate, multa linguarum genera conflata sunt, singulaeque ab invicem diversae, uti horum meminit sacra Scriptura, ubi ait: *Et erat omnis terra labium unum, et vox una omnibus. Et factum est cum moverentur ipsi ab oriente, invenerunt campum in terra Senaar, et habitaverunt ibi. Et dixit homo proximo suo: Venite laterifi-*

πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίν-
C θος εἰς λίθον καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. καὶ εἶπαν,
Δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφα-
λὴ ἔσται ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ
διασπαρῆναι ἡμᾶς ἐπὶ πάσης τῆς γῆς. καὶ κατέβη κύριος ὁ θεὸς
ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀν-
θρώπων. καὶ εἶπε κύριος ὁ θεός, Ἰδοὺ χεῖλος ἓν καὶ φωνὴ μία
πᾶσιν. καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἐξ αὐ-
τῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν. δεῦτε καὶ καταβάντες
συγχέωμεν ἐκεῖ αὐτῶν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν
D φωνὴν τοῦ πλησίον αὐτοῦ. καὶ διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς
ἐκεῖθεν ἐπὶ προσώπου τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν
πόλιν καὶ τὸν πύργον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς σύγ-
χυσις, ὅτι ἐκεῖ συνέχεεν κύριος τὰ χείλη πάσης τῆς γῆς, κἀκεῖθεν
διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

Ἐπεὶ οὖν τούτων ἐμνημονεύσαμεν, διὰ τὴν προκειμένην χρο-
νογραφίαν δέον ἐπιμνημονεῦσαι παχυμερῶς τὰ κατ' αὐτοὺς ἔκ
R 56 τε τῶν διδασκαλιῶν Ἐπιφανίου τοῦ Κύπρου καὶ ἐξ ἑτέρων τινῶν.
καὶ τίνες ἦσαν καὶ κατὰ ποίους τόπους μερισθέντες οἴκησαν λέγει
εἰς τὸν Ἀγκυρωτὸν αὐτοῦ ἐκ τῆς Γενέσεως.

2. καὶ ἡ ἄσφαλτος PV. Correxi ex Genesi. 5. κατέβη] οὐ σωματικῶς συγκατέβη κύριος ὁ θεὸς margo PV. 10 τὰς γλώσσας P. 15. προσώπου τῆς γῆς P. 16. ὀρθογραφίαν P. 19. ᾤκησαν P ex correctione Hoeschelii in m. R. 20. Ἀγκυρωτὸν] CXIV. seq. p. 116. ed. Petav. *ibid.* Γενέσεως] X.

cemus lateres, et coquamus eos igni. Et factus est illis later in lapidem, et bitumen fuit illis lutum. Et dixerunt: Venite, aedificemus nobis civitatem et turrim, cujus erit caput usque ad coelum: et faciamus nobis nomen, antequam dispergamur in universa terra. Et descendit Dominus Deus, ut videret civitatem, et turrim, quam aedificarunt filii hominum. Et dixit Dominus Deus: Ecce genus unum, et labium unum omnibus: et coeperunt hoc facere, et nunc non deficient ab eis omnia, quaecunque aggressi sunt facere. Venite et descendentes confundamus ibi linguas ipsorum, ut non audiant unusquisque vocem proximi sui. Et dispersit Dominus Deus ipsos super faciem terrae, et cessaverunt aedificantes civitatem et turrim. Propter hoc vocatum est nomen ejus Confusio: quia ibi confudit Dominus labia universae terrae, et inde dispersit eos Dominus Deus super faciem universae terrae.

Quia ergo horum a nobis facta est mentio, res postulat, uti propter susceptum operis argumentum, de iisdem ex Epiphanio Cypri Episcopo, et aliquot aliis summatim agamus. Qui vero ii fuerint, et quas partes a se invicem divisi incoluerint, exponit in Ancorato suo idem Epiphanius ex Genesi.

Ἰάφεθ τρίτῳ υἱῷ τοῦ Νῶε γίνονται παῖδες καὶ παίδων παῖδες P 26 ιδʹ. καὶ τῷ Χὰμ δευτέρῳ υἱῷ τοῦ Νῶε καὶ αὐτῷ γίνονται παῖδες καὶ παίδων παῖδες λαʹ. καὶ τῷ Σὴμ πρώτῳ υἱῷ τοῦ Νῶε γίνονται παῖδες καὶ παίδων παῖδες κζʹ. καὶ ταῦτα εἰπὼν μνημονεύει, Πέμπτη τοίνυν γενεὰ μετὰ τὸν κατακλυσμόν, τουτέστιν ἀπὸ τοῦ Ἀρφαξὰδ ἕως τοῦ Φαλέγ, πληθυνόντων ἄρτι τῶν ἀνθρώπων ἀπὸ τῶν τριῶν υἱῶν τοῦ Νῶε κατὰ διαδοχὴν παίδων, καὶ τούτων παῖδες γεγόνασιν οβʹ τὸν ἀριθμὸν ἐν κόσμῳ ἀρχηγέται καὶ κεφαλαιωταί. ἐπεκτεινόμενοι δὲ καὶ πρόσω βαίνοντες τοῦ Λουβὰρ ὄρους καὶ ὁρίων τῆς Ἀρμενίας, τουτέστιν B Ἀραρὰτ τῆς χώρας, γίνονται ἐν πεδίῳ Σενναάρ, ἔνθα που ἐπελέξαντο. ἐκεῖσε πρῶτον ἡ κατοίκησις γίνεται μετὰ τὸν κατακλυσμὸν τῶν ἀνθρώπων· κἀκεῖ φυτεύσας ἀμπελῶνα Νῶε ὁ προφήτης οἰκήτωρ γίνεται τοῦ τόπου. κεῖται δὲ αὕτη ἡ Σενναὰρ νυνὶ ἐν τῇ Περσῶν χώρᾳ, ἦν δὲ πάλαι Ἀσσυρίων. ἐκεῖσε τοίνυν συνδυάσαντες καὶ συμβούλιον ποιησάμενοι μετ' ἀλλήλων πύργον καὶ πόλιν οἰκοδομῆσαι, κτίζουσι τὴν πυργοποιίαν καὶ οἰκοδομοῦσι τὴν Βαβυλῶνα. καὶ οὐκ ηὐδόκησεν ὁ θεὸς ἐπὶ τῷ ἔργῳ τῆς αὐτῶν ἀνομίας. διεσκέδασε γὰρ αὐτῶν τὰς γλώσσας καὶ ἀπὸ μιᾶς γλώσσης εἰς οβʹ διένειμεν κατὰ τὸν ἀριθμὸν τῶν τότε ἀνδρῶν εὑρεθέντων· ὅθεν καὶ μέροπες αὐτοὶ κέκληνται διὰ τὴν με- C

1. Ἰάφετ V. 4. ταῦτα] εἶτα P. 8. καὶ τούτων uncis includit P, ad quod nihil notatur ex V. 10. Λουβὰρ ὁρίων] Λουβὰρ καὶ ὀρέων V. 11. Σεναὰρ P. ibid. ἐπεξελέξαντο P. 12. πρῶτον ἡ] πρῶτον P. 14. Σεναὰρ PV. 16. συνευάσαντες V, συνδοιάσαντες Ducangius. 19. γλώσσας Epiphanius, γνώμας PV.

Japhet tertio Noe filio nascuntur filii, et filiorum filii XIV. Et Cham secundo filio Noe nascuntur filii, et filiorum filii XXXI. Et Sem primogenito Noe nascuntur filii, et filiorum filii XXVII. Quibus dictis, sic prosequitur.

Caeterum quinta post diluvium aetate (hoc est ab Arphaxad usque ad Phaleg) *cum a tribus Noe filiis propagari genus hominum coepisset, continuata sobolis successione, duo ac septuaginta numero velut principes ac stirpis capita prodierunt. Ii cum longius processissent, et a monte Lubar, Armeniaeque finibus, hoc est regione Ararat, ulteriora peragrassent, in campum Senaar delati sunt, quem locum sibi ipsi delegerunt.* Atque hic primum homines habitarunt post diluvium, ibique plantato vineto, Noe Propheta isto in loco sedem fixit. *Caeterum Senaar hodie in Persarum regione jacet, quam olim Assyrii tenuerant. Igitur cum in eo loco compactum fecissent, habito invicem consilio, de Turri urbeque illic extruenda, turrim et Babylonem extruunt. Sed de insana illa molitione Deo displicuit. Ideoque dissipatis illorum consiliis, ex una lingua septuaginta duas fecit, pro hominum numero, qui illo tempore reperti sunt:*

μερισμένην φωνήν. καὶ ταῦτα Ἐπιφάνιος περὶ τῆς πυργοποιίας καὶ περὶ τῶν οβʹ γλωσσῶν, ὃ καὶ μέχρι νῦν παρὰ τοῖς ἀνθρώποις ὡς ἀγνοούμενον ἐπιζητεῖται. δέον δὲ μνημονεῦσαι καὶ ποῦ κατοίκησαν ἕκαστος αὐτῶν μετὰ τὴν μέρισιν καὶ τὰ ἐξ αὐτῶν ἔθνη.

Τῷ μὲν Ἰάφεθ τρίτῳ υἱῷ τοῦ Νῶε κατακληροῦται ἀπὸ Μηδίας ἕως Γαδαρινῶν καὶ ἀπὸ Ῥινοκορούρων τὰ πρὸς βοῤῥᾶν,
R 58 οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης κλίμα νενευκότες τῷ τῆς Σκυθίας μέρει τοῖς ἑαυτῶν ἔθεσι προσεκρίθησαν.

D Υἱοὶ Ἰάφεθ τρίτου υἱοῦ Νῶε φυλαὶ ὁμοῦ ιδʹ.

V 23 Γάμερ, ἐξ οὗ Κελταῖοι.

Μαγώγ, ἐξ οὗ Ἀκυρτανοί. τινὲς ἐκ τοῦ Μαγὼγ τοὺς Γόθους λέγουσι καὶ τοὺς Σαρμάτας καὶ τοὺς Σκύθας γεγενῆσθαι.

Μαδάϊ, ἐξ οὗ Βρετανοί.

Ἰωϋά, ἐξ οὗ Σπανοὶ οἱ καὶ Τυράννιοι.

Ἐλισά, ἐξ οὗ Μαῦροι.

Θοβέλ, ἐξ οὗ Μαχουακοί.

Μοσόχ, ἐξ οὗ Γετοῦλοι.

Θηράς, ἐξ οὗ Ἄφροι.

5. Ἰάφετ V. *ibid.* κατακληροῦται om. V. 6. Ῥινοκούρων R, Ῥινοκουρούρων P. 7. ἐπὶ τὸ] ἐπὶ P. 8. προσεκρίθησαν m. R, προεκρίθησαν PV. Conf. ad p. 49. B 9. ὁμοῦ om. V. 15. οἱ om. V. 17. Μαχουακοὶ] Sic et p. 32. B. Verum nomen est *Bacuates*. Vid. Wesseling. ad Antonin. p. 2.

unde et Meropes a vocis divisione sunt nuncupati. Atque haec Epiphanius de Turris aedificatione, et LXXII. linguis: quod quidem ad haec usque tempora velut ignoratum ab hominibus quaeritur. Operae vero pretium est modo exponere, ubi horum singuli habitarint post divisionem, quaeque ex iis ortae sint nationes.

Japhet igitur tertio Noe filio obvenit, quidquid a Media usque ad Gadarinos pertinet, et a Rhinocururis quidquid Aquilonem spectat: quam quidem in Europa regionem, quidam versus Scythiae partes progressi, sibi in sedem delegerunt.

Filii vero Japhet tertii Noe filii, XIV. fuere, ex quibus totidem ortae tribus.

Gamer, ex quo Celtaei.

Magog, ex quo Aquitani. Quidam aiunt ex Magog ortos Gotthos, ut et Sarmatas et Scythas.

Madai, ex quo Britanni.

Jova, ex quo Hispani qui et Tyrannii.

Elisa, ex quo Mauri.

Thobel, ex quo Macuaci.

Mosoch, ex quo Getuli.

Theras, ex quo Afri.

Ἀσχανάθ, ἐξ οὗ Μάζικες. P 27
Ῥιφάθ, ἐξ οὗ Ταράμαντες ἐξώτεροι.
Θόργαρμα, ἐξ οὗ Βοράδες.
Ἔρκα, ἐξ οὗ Βελτίονες.
Θαρσεῖς, ἐξ οὗ Ταράμαντες ἐσώτεροι.
Ῥόδιοι, ἐξ οὗ Ῥωμαῖοι οἱ καὶ Λατῖνοι.

Ἔστιν δὲ καὶ τὰ τῆς Ἑλλάδος ἔθνη πάντα ἐξ αὐτῶν τῶν μετῳκηκότων ὕστερον ἐκεῖσε, οἷον Σαϊτῶν, οἳ κατῴκησαν τὴν παρ' Ἕλλησιν τιμωμένην πόλιν τὴν καλουμένην Ἀθήνας, ἔτι δὲ καὶ τὰς Θήβας, ὅτι Σιδονίων εἰσὶν ἄποικοι, ἐκ Κάδμου τοῦ B Ἀγήνορος. καὶ οἱ Καρχηδόνιοι δὲ Τυρηννίων εἰσὶν ἄποικοι καὶ οἵτινες ἄλλοι εἰς τὴν Ἑλλάδα μετῴκησαν.

Εἰσὶν δὲ τὰ τοῦ Ἰάφεθ ἔθνη ἀπὸ Μηδίας ἕως τοῦ ἑσπερίου κατεσπαρμένα Ὠκεανοῦ βλέποντα τὰ πρὸς βοῤῥᾶν οὕτως· Μῆδοι, Ἕλληνες, Ἀλβανοί, Οὐεννοί, Ἀρμένιοι, Δαυνεῖς, Κορ- R 60
ζηνοί, Ἱππικοί, Παφλαγόνες, Ἴβηρες οἱ καὶ Τυράννιοι, Χάλυβες, Κελταῖοι, Σαυρομάται, Γάλλοι, Ταύριοι, Βάσαντες, Ἰλλυριοί, Οὐακκαῖοι, Λίγυρες, Ἰάπυγες, Γαγηνοί, Λατῖνοι οἱ καὶ Ῥωμαῖοι, Ἀμαζονεῖς, Λιγυστανοί, Δενναγηνοί, Ἀκύτινοι, Μαριανδυνοί, Κυρτιανοί, Μοσσύνοικοι, Κόννιοι, Μαιῶται, C

1. Ἀρχανάθ P. 2. Ῥυφάθ P. 3 Θοσμαγύρ P. 7. ἐξ αὐτῶν τῶν] τὰ ἐξ αὐτῶν P. 10. ὅτι ἐκ Σ. P. 11. Καλχηδόνιοι RV, Καρχηδόνιοι m. R. 13. Μηδείας PV. 14. τὰ πρὸς] Imo πρὸς. 16. Χάλυκες PV. 18. Οὐακκαοί V. 19. Ἀμαξωνεῖς P. ibid. Ληγηστανοί PV. ibid. Δηνναγηνοί P.

Archanath, ex quo Muzices.
Ryphat, ex quo Taramantes exteriores.
Thosmagar, ex quo Borades.
Herca, ex quo Veltiones.
Tharsis, ex quo Taramantes citeriores.
Rhodii, ex quo Romani, seu Latini.

Sunt autem et Graeciae nationes omnes ex his conflatae, iis eo postmodum migrantibus: cujusmodi sunt Saitarum, qui celeberrimam apud Graecos urbem Athenas incoluerunt; praeterea Thebas, cum Sidoniorum sint coloni, ex Cadmo Agenoris filio prognati. Sed et Carthaginenses Tyrenniorum sunt coloni, ac caeteri qui in Graeciam commigrarunt.

Gentes vero a Japhet ortae, a Media ad Hesperium usque Oceanum, dispersae, quae Aquilonem spectant, sunt istae: Medi, Graeci, Albani, Venni, Armenii, Dauni, Corzeni, Hippici, Paphlagones, Iberi, qui et Tyrannii, Chalyces, Celtaei, Sauromatae, Galli, Taurii, Basantes, Illyrii, Vaccaei, Ligures, Japyges, Gageni, Latini, qui et Romani, Amazones, Legestani, Dennageni, Acytini, Mariandeni, Cyrtiani,

Καλαβροί, Θρᾷκες, Γάλλοι οἱ καὶ Κελτίβηρες, Μακεδόνες, Ἰλλυρικοί, Ἰστροί, Λυσιτάνιοι, Ἐῤῥεοί, Βρεττανοί, Κῶλοι.

Οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματά εἰσιν οὗτοι· Καππάδοκες, Ἴβηρες οἱ καὶ Τυράννιοι, Ταβαρινοί, Λατῖνοι, οἷς χρῶνται οἱ Ῥωμαῖοι, Σαρμάται, Σπανοί, Σκύθες, Ἕλληνες, Βασταρνοί, Μῆδοι, Ἀρμένιοι.

Ἔστιν δὲ κατὰ μῆκος τὰ ὅρια αὐτῶν ἀπὸ Μηδίας ἕως Γαδείρων βλέποντα πρὸς βοῤῥᾶν, εὖρος δὲ ἀπὸ Ποταμίδος ποταμοῦ ἕως Μαστουσίας τῆς καθ' ἥλιον. αἱ δὲ χῶραι αὐτῶν εἰσι κατὰ τὰς φυλὰς αὐτῶν αὗται· ἡ Λυχνῖτις, Μηδία, Ἀδριακή, ἀφ'
D ἧς τὸ Ἀδριακὸν πέλαγος, Ἀλβανία, Γαλλία, Ἀμαζονίς, Ἰταλία, Ἀρμενία μικρά τε καὶ μεγάλη, Θουσκηνή, Καππαδοκία, Λυσιτανία, Παφλαγονία, Μεσσαλία, Γαλατία, Κελτίς, Κολχίς,
R 62 Σπανογαλλία, Ἰνδική, Ἰβηρία, Ἀχαΐα, Σπανία ἡ μεγάλη, Βοσπορηνή, Μαιῶτις, Δέῤῥις, Σαρματίς, Ταυριαννίς, Βασταρνίς, Σκυθία, Θρᾴκη, Μακεδονία, Δελματία, Κολχίς, Θετταλίς, Λοκρίς, Βοιωτία, Αἰτωλία, Ἀττική, Ἀχαΐα, Πελοπόννησος, Ἀκαρνία, Ἠπειρῶτις, Ἰλλυρίς.

Ἐνταῦθα καταλήγει τὰ ὅρια τοῦ Ἰάφεθ ἕως Βριττανικῶν νή-
P 28 σων πάντα τὰ πρὸς βοῤῥᾶν βλέποντα. εἰσὶν δὲ αὐτοῖς καὶ νῆσοι

1. Κεντίβηρες V. 2. Βερττανοί PV. 5. Βασταρινοί P. 7. κατὰ μῆκος om. V. *ibid.* Γαδηρῶν RV, Γαδηρηνῶν P. 11. Ἀδριακή] Ἀδριάβη R. 11. Ἀδριατικὸν P. 13. Κολχίς] Κολχοί V. 14. Βοσποριvοί PV. 17. Βοιωτία καὶ Βοιωτίς P. *ibid.* Ἀττική] Ἐττική V.

Mossinoeci, Connii, Maeotae, Calabri, Thraces, Galli, qui et Celtiberi, Macedones, Illyrici, Istri, Lusitani, Errei, Britanni, Coli.

Qui vero suas norunt literas, hi sunt: Cappadoces, Iberi qui et Tyrannii, Tabarini, Latini, quibus utuntur Romani, Sarmatae, Hispani, Scythae, Graeci, Bastarini, Medi, Armenii.

Sunt autem horum fines secundum longitudinem, a Media usque ad Gaderenos Aquilonem spectantes: latitudo vero a Potamide fluvio ad Mastusiam quae orientem spectat. Regiones porro illorum secundum tribus sunt istae: Lychnites, Media, Adriace, a qua mare Adriaticum, Albania, Gallia, Amazonis, Italia, Armenia major et minor, Thuscene, Cappadocia, Lusitania, Paphlagonia, Messalia, Galatia, Celtis, Colchis, Hispanogallia, India, Iberia, Achaia, Hispania magna, Bosporini, Maeotis, Derris, Sarmatia, Taurianna, Bastarnia, Scythia, Thracia, Macedonia, Delmatia, Colchis, Thessalia, Locris, Boeotia, Aetolia, Attica, Achaia, Peloponnesus, Acarnania, Epirus, Illyris.

Hic finis est limitum seu regionum Japhet usque ad Britannicas insulas, quae omnes ad Aquilonem vergunt. Sed et eorum sunt insulae

αὗται· Σικελία, Εὔβοια, Ῥόδος, Χίος, Λέσβος, Κύθηρα, Ζάκυνθος, Κεφαληνία, Ἰθάκη, Κόρσυρα καὶ αἱ Κυκλάδες καὶ μέρος τῆς Ἀσίας τὸ καλούμενον Ἰωνία. ποταμὸς δέ ἐστιν αὐτοῖς Τίγρις, ὁ διορίζων Μηδίαν καὶ Βαβυλωνίαν. ταῦτά ἐστιν τὰ V 24 *ὅρια τοῦ Ἰάφεθ τοῦ τρίτου υἱοῦ τοῦ Νῶε.*

Χὰμ δὲ τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε ἀπὸ Ῥινοκορούρων ἕως Γαδαρηνῶν Αἴγυπτος καὶ πάντα τὰ πρὸς νότον ὑπέπεσαν, πάνυ δοκοῦντα καυματινὰ ὑπάρχειν.

Υἱοὶ Χὰμ τοῦ δευτέρου υἱοῦ Νῶε φυλαὶ λα΄.

Χούς, ἐξ οὗ Αἰθίοπες.

Μεσραείμ, ἐξ οὗ Αἰγύπτιοι. B

Οὗτος Μεσραεὶμ ὁ Αἰγύπτιος μετέπειτα ἐπὶ τὰ ἀνατολικὰ μέρη οἰκήσας οἰκήτωρ γίνεται Βάκτρων, τὴν ἐσωτέραν Περσίδος λέγει Ἄσσα τῶν μεγάλων Ἰνδῶν.

Ἐντεῦθεν τὰ κατὰ τὴν γῆν παράνομα διανενέμηται. ἐφευρετὴς γὰρ οὗτος ἐγένετο κακῆς διακονίας, ἀστρολογίας καὶ μαγείας, ὃν καὶ Ζωροάστρην οἱ Ἕλληνες ἐκάλεσαν. τοῦτον ᾐνίξατο Πέτρος εἰπὼν ὅτι μετὰ τὸν κατακλυσμὸν πάλιν οἱ ἄνθρωποι ἀσεβεῖν ἤρξαντο.

Φούδ, ἐξ οὗ Τρωγλοδῦται. R 64

Χαναάν, ἐξ οὗ Ἄφροι καὶ Φοίνικες. C

1. *Κύφηρα* PV. 2. *Κόρουρα* PV. 6. *ἀπὸ*] *ὑπὸ* P. *ibid.* *Ῥινοκουρούρων* P. 7. *Αἴγυπτος* P, *Αἴγυπτον* RV. 16. *κακῆς*] *τῆς κακῆς* P. 17. *μαγίας* PV. 18. *Πέτρος*] Supra p. 23. D.

istae: Sicilia, Euboea, Rhodus, Chius, Lesbus, Cyphera, Zacynthus, Cephalenia, Ithaca, Corura, et Cyclades, et pars Asiae, dicta Ionia. Eorum est etiam fluvius Tigris, qui Mediam a Babylonia distinguit. Hi sunt fines Japhet, tertii Noe filii.

Cham autem secundo Noe filio, a Rhinocururis ad Gadarenos usque, Aegyptus, et omnia Austrum spectantia, quae aestu fervere omnino putantur, subjecta sunt.

Ex Cham secundo Noe filio prognatae tribus xxxi.

Chus, ex quo Aethiopes.

Mesraim, ex quo Aegyptii.

Hic est Mesraïm Aegyptius, qui postmodum versus Orientis plagas habitavit, Bactra deinde incoluit, et citeriorem Persidem Asoa majoris Indiae appellavit.

Hinc deinceps terrarum orbem invasit impietas. Hic enim pravae disciplinae repertor fuit, Astrologiae scilicet ac magiae: quem et Graeci Zoroastrem appellarunt. Hunc Petrus designavit, cum ait, *Post diluvium homines impie agere coeperunt.*

Phud, ex quo Troglodytae.

Chanaan, ex quo Afri et Phoenices.

Υἱοὶ Χοὺς τοῦ Αἰθίοπος τοῦ γενομένου ἐκ τοῦ Χάμ, δευτέρου υἱοῦ τοῦ Νῶε.

Σαβά, ἐξ οὗ Ἰταβηνοί.
Εὐειλάτ, ἐξ οὗ Ἰχθυοφάγοι.
Σαβαθά, ἐξ οὗ Ἐλλανοί.
Ῥέγμα, ἐξ οὗ Αἰγύπτιοι,
καὶ Σαβακαθά, ἐξ οὗ Αἰθίοπες Λίβυες.

Υἱοὶ Ῥέγμα υἱοῦ Χοὺς τοῦ υἱοῦ Χάμ.

Σαβά, ἐξ οὗ Μαρμαρίδες.
Δαδάν, ἐξ οὗ Κάροι,
D καὶ Νεβρὼδ ὁ κυνηγὸς καὶ γίγας, ὁ Αἰθίοψ, ἐξ οὗ Μυσοί.

Λέγει γὰρ ἡ γραφή, „καὶ Χοὺς ἐγέννησε τὸν Νεβρὼδ τὸν κυνηγὸν καὶ γίγαντα Αἰθίοπα. οὗτός ἐστιν Νεβρὼδ ὁ γίγας καὶ κυνηγὸς ἐναντίον κυρίου.“ τούτῳ τῷ Νεβρὼδ τὴν βασιλείαν Βαβυλῶνος μετὰ τὸν κατακλυσμὸν ἡ θεία γραφὴ ἀνατίθησι. φησὶ γὰρ ἡ γραφή, „ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλών.“ λέγει δὲ περὶ τούτου Πέτρος ὁ ἀπόστολος εἰς τὰ Κλημέντια πῶς ἦρξεν εἰς Βαβυλῶνα ἐν Αἰγύπτῳ κληρωθείς· φησὶ γὰρ Πέτρος, „οὗτος ὁ Νεβρὼδ μετοικήσας ἀπὸ Αἰγύπτου εἰς Ἀσσυρίους, καὶ οἰκήσας εἰς Νίνον πόλιν, ἣν ἔκτισεν Ἀσσούρ, καὶ κτίσας τὴν πόλιν, ἥτις
P 29 ἦν Βαβυλῶνος, πρὸς τὸ ὄνομα τῆς πόλεως ἐκάλεσεν. αὐτὸν Νίνον τὸν Νεβρὼδ οἱ Ἀσσύριοι προσηγόρευσαν. οὗτος διδάσκει

7. καὶ Σ. V, Σ. P. ἐξ οὗ P, οὗτοι RV. 12. ἡ γραφή] Genes. X. 8. 9. 17. τὰ Κλημέντια] Conf. Recognit. IV. 29. p. 540.

Filii Chus Aethiopis, ex Cham secundo Noe filio orti, hi sunt:

Saba, ex quo Itabeni.
Evilat, ex quo Ichthyophagi.
Sabatha, ex quo Ellani.
Rhegma, ex quo Aegyptii.
Sabacatha, ex quo Aethiopes Libyci.

Filii Rhegma, filii Chus, filii Cham:

Saba, ex quo Marmarides.
Dadan, ex quo Cari, et
Nembrod venator et gigas, Aethiops, ex quo Mysi, ait enim Scriptura: *Et Chus genuit Nemrod venatorem et gigantem Aethiopem. Hic est Nembrod gigas et venator coram Domino.* Huic Nembrod regnum Babylonis post diluvium adscribit sacra Scriptura. Ait enim Scriptura: *Principium regni ejus Babylon.* Narrat porro Petrus Apostolus in Clementinis, ut ille in Babylone regnaverit, cum in Aegypto sortem suam accepisset: ait enim Petrus: *Hic Nembrod cum ex Aegypto ad Assyrios demigrasset, urbemque Ninum, quam Assur condiderat, habitasset, aedificata urbe, quae erat Babylonis, ex eo civitati nomen imposuit. Ipsum vero Nembrod Ninum Assyrii appellarunt. Hic Assyrios ignem*

Ἀσσυρίους σέβειν τὸ πῦρ. ἔνθεν καὶ πρῶτον αὐτὸν βασιλέα μετὰ τὸν κατακλυσμὸν ἐποίησαν οἱ Ἀσσύριοι τοῦτον, ὃν μετωνόμασαν Νίνον.“ ταῦτα Πέτρος περὶ τούτου.

Αἰγυπτίων πατριαὶ σὺν Μεσραεὶμ τῷ πατρὶ αὐτῶν ὀκτώ. λέγει γὰρ οὕτως· „καὶ Μεσραεὶμ ἐγέννησε τοὺς Λουδιείμ.“

Λουδιείμ, ἐξ οὗ Λυδοί.
Αἰνεμετιείμ, ἐξ οὗ Πάμφυλοι.
Λαβιείμ, ἐξ οὗ Λίβυες. R 66
Νεφθαλιείμ, ἐξ οὗ Φρύγες.
Πατρωσονιείμ, ἐξ οὗ Κρῆτες. B
Χασλωνιείμ, ἐξ οὗ Λύκιοι.
Φυλιστιείμ, ἐξ οὗ Μαριανδυνοί.
Χυφθοριείμ, ἐξ οὗ Κίλικες.

Χαναναίων δέ εἰσι πατριαὶ σὺν Χαναὰν τῷ πατρὶ αὐτῶν ιβ'. λέγει γάρ, „Χαναὰν ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον.“

Σιδῶνα, ἐξ οὗ Μυσοί. V 25
Χετταῖον, ἐξ οὗ Δάρδανοι.
Ἰεβουσαῖον, ἐξ οὗ Ἰεβουσαῖοι.
Ἀμοῤῥαῖον, ἐξ οὗ Γερμανοί.
Γεργεσαῖον, ἐξ οὗ Σαρμάται.
Εὐαῖον, ἐξ οὗ Παννώνιοι.

5. λέγει] Genes. X. 13. 10. Κρίτεις PV, Κρῆτες m. R. 12. Μαριανδινοί PV. 13. Καφθ. P sola. 15. λέγει] Gen. X. 15. 19. Ἀμμορ. V.

adorare docuit: unde primus ab iis post diluvium Rex creatus, ac mutato nomine Ninus est appellatus.

Aegyptiorum gentes cum Mesraim horum parente sunt octo: sic enim Scriptura: *Et Mesraim genuit Ludiim.*

Ludiim, ex quo Lydi.
Aenemetiin, ex quo Pamphyli.
Labiim, ex quo Libyes.
Nephthaliim, ex quo Phryges.
Patrosoniim, ex quo Cretes.
Chasloniim, ex quo Lycii.
Phylistiim, ex quo Mariandini.
Caphthoriim, ex quo Cilices.

Chananaeorum vero cum Chanaan eorum patre nationes sunt XII. Scriptura enim dicit: *Chanaan genuit Sidonem primogenitum.*

Sidonem, ex quo Mysi.
Chettaeum, ex quo Dardani.
Jebusaeum, ex quo Jebusaei.
Amorrhaeum, ex quo Germani.
Gergesaeum, ex quo Sarmatae.
Evaeum, ex quo Pannonii.

C Ἀρουκαῖον, ἐξ οὗ Παίονες.
Ἀσενναῖον, ἐξ οὗ Δελμάται.
Ἀράδιον, ἐξ οὗ Ῥωμαῖοι οἱ καὶ Κιτιαῖοι.
Σαμαραῖον, ἐξ οὗ Λίγυρες.
Ἀβαθή, ἐξ οὗ Ἀμαθούσιοι.

Οὗτοι κατέχουσιν ἀπὸ Αἰγύπτου ἕως τοῦ νοτιαίου Ὠκεανοῦ. οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα Φοίνικες, Αἰγύπτιοι, Πάμφυλοι, Φρύγες.

Καὶ τὰ μὲν ὅρια τῶν υἱῶν τοῦ Χὰμ εἰσιν ἀπὸ Ῥινοκορούρων τῆς ὁριζούσης Συρίαν καὶ Αἴγυπτον καὶ Αἰθιοπίαν ἕως Γαδείρων
D τὰ πρὸς νότον. τὰ δὲ ὀνόματα τῶν χωρῶν τοῦ Χὰμ ἐστι ταῦτα· Αἴγυπτος σὺν τοῖς περὶ αὐτὴν πᾶσιν, Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδούς, καὶ ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται ὁ τῶν Αἰθιόπων ποταμὸς ὁ καλούμενος Νεῖλος ὁ καὶ Γήων, Θηβαΐς, Λιβύη ἡ παρεκτείνουσα μέχρι Κυρήνης, Μαρμαρὶς καὶ τὰ περὶ αὐτὴν πάντα, Σύρτις ἔχουσα ἔθνη τρία, Νασαμῶνας, Μάκας, Ταυταμαίους, Λιβύη ἑτέρα ἡ ἀπὸ Λέπτεως παρεκτείνουσα μέχρις Ἡρακλεωτικῶν στηλῶν κατέναντι Γαδείρων.

R 68 P 30 Ἔχει δὲ καὶ ἐν τοῖς κατὰ βοῤῥᾶν μέρεσιν τὰς παραθαλασσίας, Κιλικίαν, Λυγδονίαν, Καρίαν, Βιθυνίαν, Παμφυλίαν,

1. *Παίωνες* PV. 2. *Δαλμάται* P. 3. Post *Κιτιαῖοι* addit *Λατῖνοι* P. 7. *Αἰγύπτιοι* om. P. 9. *καὶ* om. P. *ibid.* *Ῥινοκουρούρων* P. 10. *Γαδίρων* P. 15. *Κυρήνης* Ducangius, *Κορκυρίνης* RV. 16. *Νασσαμῶνας* PV. *ibid.* *Μάκους* P. Conf. Schurzfleisch. Notit. Bibl. Vinar. p. 62. 17. *μέχρι* P. 18. *Γαδύρω* V, *Γαδείων* R, *Γαδείνω* P.

Arucaeum, ex quo Paeones.
Asennaeum, ex quo Dalmatae
Aradium, ex quo Romani, qui et Citiaei, Latini.
Samaraeum, ex quo Ligures.
Abathe, ex quo Amathusii.

Hi quidem ab Aegypto usque ad australem Oceanum regiones obtinent. Qui vero literas suas norunt, sunt Phoenices, Pamphyli, Phryges.

Fines filiorum Cham protenduntur a regione Rhinocururorum, quae Syriam et Aegyptum, et Aethiopiam usque ad Gades versus Austrum disterminat. Nomina vero regionum Cham ea sunt: Aegyptus cum adjacentibus nationibus, Aethiopia, quae Indos spectat, et altera Aethiopia ex qua oritur Aethiopum fluvius Nilus appellatus, qui et Geon, Thebais, Libya quae ad Cyrenem protenditur, Marmaris cum regionibus contiguis, Syrtis quae tribus constat populis, Nassamonibus, Macis, et Tautamaeis, Libya altera, quae a Lepti ad Herculis Columnas e regione Gadium porrigitur.

Habet vero in partibus ad Septentrionem pertinentibus maritimas regiones, Ciliciam, Lygdoniam, Cariam, Bithyniam, Pamphyliam, Phry-

Φρυγίαν, Λυδίαν τὴν ἀρχαίαν, Πισιδίαν, Καμιλίαν, Τρῳάδα, Φρυγίαν, Μυσίαν, Λυκίαν, Αἰολίαν.

Εἰσὶ δὲ αὐτοῖς καὶ νῆσοι ἐπίκοινοι αὗται· Κόρσυρα, Ταυριαννίς, Ἀστυπάλαια, Κῶος, Λαμπαδοῦσα, Γαλάτη, Χίος, Κνίδος, Γαῦδος, Γόρσυνα, Λέσβος, Νίσυρος, Μελίτη, Κρήτη, Τένεδος, Μεγίστη, Κέρκινα, Γαυλορήτη, Ἴμβρος, Κύπρος, Μῆνιξ, Θήρα, Ἴασος, Σαρδανίς, Κάρπαθος, Σάμος.

Αὗται αἱ νῆσοι ἐπίκοινοι μεταξὺ τοῦ Χὰμ καὶ τοῦ Ἰάφεθ. τὰ κατὰ θάλασσαν γίνονται ὁμοῦ νῆσοι κϛʹ. B

Ἔχει δὲ τὰ ὅρια τοῦ Χὰμ καὶ ἑτέρας νήσους, Σαρδανίαν, Κρήτην, Κύπρον.

Ἔχει δὲ ποταμὸν Γηὼν τὸν καὶ παχυβάτορα καλούμενον Νεῖλον καὶ χρυσορόαν, κυκλοῦντα πᾶσαν γῆν Αἰγύπτου καὶ Αἰθιοπίας. ὁρίζει δὲ μεταξὺ τοῦ Χὰμ καὶ τοῦ Ἰάφεθ τὸ στόμα τῆς ἑσπερινῆς θαλάσσης. αὕτη τοῦ Χὰμ ἡ γενεαλογία, δευτέρου υἱοῦ τοῦ Νῶε.

Εἶτα πάλιν Ἐπιφάνιος, Τῷ δὲ Σὴμ πρώτῳ υἱῷ τοῦ Νῶε ὑπέπεσεν ὁ κλῆρος ὁ ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς. μῆκος τοῦ κλήρου ἕως Ῥινοκορούρων. κεῖται δὲ αὕτη ἡ Ῥινοκορούρων ἀνὰ μέσον Αἰγύπτου καὶ Παλαιστίνης τῆς ἀντικρὺ κειμένης τῆς ἐρυθρᾶς θαλάσσης. C

1 *Καμηλίαν* V. ib. *Τροάδα* P. 2 *Αἰωλίαν* PV. 4. *Χίος*] *Χῶς* P. 5. *Γαῦσος* P. ibid. *Γόρσυνα* P. 7. *Ἴασσος* PV. ibid. *Καριαθὸς* PV. 9. *κϛʹ*] *κέ* V: quod conveniret fortasse, si praecedentia mendis minus foedata essent, 15. *αὐτὴ* P. 19. *Ῥινοκουρούρων* P bis, *Ῥινοκούρων* R. ibid. *Ῥινοκούρουρα* R.

giam, Lydiam veterem, Pisidiam, Camiliam, Troada, Phrygiam, Mysiam, Lyciam, Aeoliam.

Sunt et illis communes insulae hae: Corcyra, Tauriama, Astypalaea, Cous, Lampadusa, Galate, Chius, Cnidus, Gausus, Gorscya, Lesbus, Nisyrus, Melita, Creta, Tenedus, Megista, Cercina, Gaulorete, Imbros, Cyprus, Meninx, Thera, Jassus, Sardania, Cariathus, Samus.

Hae sunt insulae Cham et Japhet communes. Insulae maritimae simul sunt XXVI.

Habet praeterea Regio Cham alias Insulas, Sardiniam, Cretam et Cyprum.

Habet etiam fluvium Geon, Nilum appellatum, coenum volventem, et auriferum, qui universam ambit Aegyptum, et Aethiopiam. Cham vero et Japhet regiones Hesperii maris ostia disterminant. Atque haec est genealogia Cham secundi Noe filii.

Rursum deinde Epiphanius: Sem primo Noe filio sors obtigit a Perside et Bactris usque ad Indiam. Sortis longitudo usque ad Rhinocururos porrigitur. Rhinocururorum vero regio inter Aegyptum et Palaestinam mari Erythraeo obversam sita est.

Υἱοὶ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε, φυλαὶ κζ΄.
Αἰλάμ, ἐξ οὗ οἱ Ἐλαμῖται.
Ἀσσούρ, ἐξ οὗ οἱ Ἀσσύριοι.
Ἀρφαξάδ, ἐξ οὗ οἱ Χαλδαῖοι.
Λούδ, ἐξ οὗ οἱ Μαζῶνες καὶ Μῆδοι καὶ Πέρσαι.
R 70 *Ἀράμ, ἐξ οὗ οἱ Ἐκταί,*
V 26 *Εὐηλά, ἐξ οὗ Γυμνοσοφισταί.*
Καϊνάμ, ἐξ οὗ Ἄραβες.
D *Ἰωβάβ, ἐξ οὗ Φοίνικες.*
Ὧς, ἐξ οὗ Μαδιναῖοι.
Οὔλ, ἐξ οὗ οἱ Λυδοί.
Γαθέρ, ἐξ οὗ Γασφηνοί.
Μοσόχ, ἐξ οὗ Ἀλασσηνοί.
Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνάν.
Καϊνάν, ἐξ οὗ οἱ Σαρμάται.
Σαλά, ἐξ οὗ Σαλαθιαῖοι.
Ἔβερ, ἐξ οὗ Ἀλβανοί.
Φάλεγ, ἐξ οὗ κατάγεται τὸ γένος Ἀβραὰμ προπάτορος.
Ἰεκτάν, ἐξ οὗ Αἰθίοπες.
P 81 *Ἐλμωδάδ, ἐξ οὗ οἱ Ἰνδοί.*

4. *Ἀρφασάδ* V et 14. RV. 6. *Αἰκταί* V. 7. *οἱ Γ.* P. 11. *οἱ Λυδοί*] *Λυδοί* P. 12. *Γαρφηνοί* P. 15. *οἱ Σ.*] *Σ.* P. 18. *προπάτορος*] *προπάτορ Ἀβραάμ* margo V. 21. *οἱ* om. P.

Filii Sem primogeniti Noe filii, ex quo ortae tribus XXVII.
Aelam, ex quo Elamitae.
Assur, ex quo Assyrii.
Arphaxad, ex quo Chaldaei.
Lud, ex quo Mazones, et Medi, et Persae.
Aram, ex quo Ectae,
Hevila, ex quo Gymnosophistae.
Cainam, ex quo Arabes.
Jobab, ex quo Phoenices.
Hos, ex quo Madinaei.
Hul, ex quo Lydi.
Gather, ex quo Garpheni.
Mosoch, ex quo Alasseni.
Arphaxad Cainan genuit.
Cainan, ex quo Sarmatae.
Sala, ex quo Salathiaei.
Eber, ex quo Albani.
Phaleg, ex quo genus Abraham progenitoris ortum est.
Jectan, ex quo Aethiopes.
Elmodad, ex quo Indi.

Σαλέφ, ἐξ οὗ Βακτριανοί.
Σαρμώθ, ἐξ οὗ Ἄραβες.
Ἰαράχ, ἐξ οὗ Κάμπλιοι οἱ καὶ Χαναναῖοι.
Ὀδόῤῥα, ἐξ οὗ Ἀῤῥιανοὶ καὶ Φερεζαῖοι.
Αἰζήλ, ἐξ οὗ Ὑρκανοὶ οἱ καὶ Εὐαῖοι.
Δέκλα, ἐξ οὗ Κεδρούσιοι οἱ καὶ Ἀμοῤῥαῖοι.
Ἀβιμεήλ, ἐξ οὗ Σκύθαι οἱ καὶ Γεργεσαῖοι.
Σαβαῦ, ἐξ οὗ Ἄραβες ἐσώτεροι. B
Οὐφείρ, ἐξ οὗ Ἀρμένιοι.

Οὗτοι πάντες υἱοὶ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε. πάντων δὲ τῶν υἱῶν τοῦ Σὴμ ἡ κατοικία ἐστὶν ἀπὸ Βάκτρων ἕως Ῥινοκορούρων τῆς ὁριζούσης Συρίαν καὶ Αἴγυπτον καὶ τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ στόματος τοῦ κατὰ Ἀρσενοΐτην τῆς Ἰνδικῆς.

Ταῦτα δέ εἰσιν τὰ ἐξ αὐτοῦ γενόμενα ἔθνη· α' Ἑβραῖοι οἱ
καὶ Ἰουδαῖοι, β' Πέρσαι, γ' Ἀσσύριοι δεύτεροι, δ' Αἰλυμαῖοι, ε' R 72
Χαλδαῖοι, ς' Ἀραμοσσυνοί, ζ' Ἄραβες οἱ δεύτεροι, η' Μῆδοι, C
θ' Ὑρκανοί, ι' Μακαρδοί, ια' Κοσσαῖοι, ιβ' Σκύθαι, ιγ' Σαλαθιαῖοι, ιδ' Γυμνοσοφισταί, ιε' Παίονες, ις' Ἰνδοὶ πρῶτοι, ιζ' Πάρθοι, ιη' Ἄραβες ἀρχαῖοι, ιθ' Καρμήλιοι, κ' Βακτριανοί, κα' Ἀῤῥιανοί, κβ' Ἰνδοὶ δεύτεροι, κγ' Γερμανοί, κδ' Κεδρούσιοι, κε' Γασφηνοί, κς' Ἑρμαῖοι.

9. Οὐφεὶρ V, Ὀφεὶρ P. 12. Ῥινοκουρούρων P hic et infra. 14. οἱ om. V. 18. Παίωνες P. 20. Κερδούσιοι P. 21. Γαρφηνοί P.

Saleph, ex quo Bactriani.
Sarmot, ex quo Arabes.
Jarach, ex quo Camplii, qui et Chananaei.
Odorra, ex quo Arriani et Pherezaei.
Aezel, ex quo Hyrcani, qui et Evaei.
Decla, ex quo Cedrusii, qui et Amorrhaei.
Abimeel, ex quo Scythae, qui et Gergesaei.
Sabau, ex quo Arabes interiores.
Ophir, ex quo Armenii.

Hactenus hi omnes filii Sem primogeniti Noe filii. Omnium vero filiorum Sem habitatio a Bactris usque ad Rhinocururorum regionem, quae Aegyptum et Syriam, et mare Erythraeum a faucibus circa Arsenoiten Indiae extantibus disterminat, protenditur.

Hae sunt gentes ex illo ortae. I. Hebraei, qui et Judaei, II. Persae, III. Assyrii secundi, IV. Haelymaei, V. Chaldaei, VI. Aramossyni, VII. Arabes secundi, VIII. Medi, IX. Hyrcani, X. Macardi, XI. Cossaei, XII. Scythae, XIII. Salathiaei, XIV. Gymnosophistae, XV. Paeones, XVI. Indi primi, XVII. Parthi, XVIII. Arabes antiqui, XIX. Carmelii, XX. Bactriani, XXI. Arriani, XXII. Indi secundi, XXIII. Germani, XXIV. Cedrusii, XXV. Garpheni, XXVI. Hermaei.

Οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα Ἑβραῖοι οἱ καὶ Ἰουδαῖοι, Πέρσαι, Μῆδοι, Χαλδαῖοι, Ἰνδοί, Ἀσσύριοι.

Ἔστι δὲ ἡ κατοικία τῶν υἱῶν Σὴμ παρεκτείνουσα κατὰ μῆ-
D κος μὲν ἀπὸ τῆς Ἰνδικῆς ἕως Ῥινοκορούρων, πλάτος δὲ ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως τῆς Αἰθιοπίας καὶ τῆς Κιλικίας.

Τὰ δὲ ὀνόματα τῶν χωρῶν τῶν υἱῶν τοῦ Σήμ, πρωτοτόκου υἱοῦ Νῶε, ἐστὶν ταῦτα· α' Περσίς, β' Βακτριανή, γ' Ὑρκανία, δ' Βαβυλωνία, ε' Κορδυαία, ς' Ἀσσυρία, ζ' Μεσοποταμία, η' Ἰνδική, [ς' Ἐλυμαΐς, ζ' Ἀραβία ἡ ἀρχαία] θ' Ἀραβία ἡ εὐδαίμων; ι' κοίλη Συρία, ια' Κομμαγηνή, ιβ' Φοινίκη Συρία ἡ ἐξωτέρα.

Τὰ δὲ ἔθνη ἃ διέσπειρε κύριος ὁ θεὸς ἐπὶ τῆς γῆς μετὰ τὸν κατακλυσμὸν ἐν ταῖς ἡμέραις Φαλὲγ καὶ Ἰεκτὰν τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τῇ πυργοποιΐᾳ, ὅτε συνεχύθησαν αἱ γλῶσσαι αὐτῶν,
P 32 ἐστὶν ταῦτα· α' Ἑβραῖοι οἱ καὶ Ἰουδαῖοι, β' Ἀσσύριοι, γ' Χαλ-
δαῖοι, δ' Μῆδοι, ε' Πέρσαι, ς' Ἄραβες πρῶτοι καὶ Ἄραβες
V 27 δεύτεροι, ζ' Μαδιναῖοι, η' Μαδιναῖοι δεύτεροι, θ' Ταϊανοί, ι'
R 74 Ἀλαμοσυνοί, ια' Σαρακηνοί, ιβ' Μάγοι, ιγ' Κάσπιοι, ιδ' Ἀλβα-
νοί, ιε' Ἰνδοὶ πρῶτοι, Ἰνδοὶ δεύτεροι, ις' Αἰθίοπες πρῶτοι, Αἰ-
θίοπες δεύτεροι, ιζ' Αἰγύπτιοι καὶ Θηβαῖοι, ιη' Λίβυες πρῶ-
τοι, Λίβυες δεύτεροι, ιθ' Χετταῖοι, κ' Χαναναῖοι, κα' Φε-

5. Βάκτρων RV. Correxit Ducangius. 8. Κορδυλία P. 9. Ἰνδική] addit V ς' Ἐλυμαΐς, ζ' Ἀραβία ἡ ἀρχαία. 10. Φοινικία P. ibid. ἡ ἐξωτέρα V, ἑτέρα P. 15. οἱ καὶ Ἰουδαῖοι om. P. 16. Ἄραβες alterum om. P. 17. Ταϊνοί V. 21. καὶ Λίβυες P.

Qui suas vero norunt literas Hebraei, qui et Judaei, Persae, Medi, Chaldaei, Indi, Assyrii.

Porro filiorum Sem habitatio secundum longitudinem quidem ab India usque ad Rhinocururos: secundum vero latitudinem a Perside et Bactris usque ad Aethiopiam et Ciliciam porrigitur.

Regionum autem filiorum Sem primogeniti Noe filii nomina sunt haec: I. Persis, II. Bactriane, III. Hyrcania, IV. Babylonia, V. Cordylia, VI. Assyria, VII. Mesopotamia, VIII. India, IX. Arabia felix, X. Coelesyria, XI. Commagene, XII. Phoenicia, altera Syria.

Populi vero quos Dominus Deus super terram post diluvium dispersit in diebus Phaleg et Jectan fratris ipsius in turris aedificatione, cum confusae sunt eorum linguae, hi sunt, I. Hebraei, II. Assyrii, III. Chaldaei, IV. Medi, V. Persae, VI. Arabes primi et secundi, VII. Madinaei, VIII. Madinaei secundi, IX. Taiani, X. Alamosyni, XI. Saraceni, XII. Magi, XIII. Caspii, XIV. Albani, XV. Indi primi, Indi secundi, XVI. Aethiopes primi, Aethiopes secundi, XVII. Aegyptii et Thebani, XVIII. Libyes primi, et Libyes secundi, XIX. Chettaei, XX. Chananaei, XXI.

ριζαῖοι, κβʹ Εὐαῖοι, κγʹ Ἀμοῤῥαῖοι, κδʹ Γεργεσαῖοι, κεʹ Ἰεβουσαῖοι, κϛʹ Ἰδουμαῖοι, κζʹ Σαρμάται, κηʹ Φοίνικες, κθʹ Σύροι, λʹ Κίλικες, λαʹ Καππάδοκες, λβʹ Ἀρμένιοι, λγʹ Ἴβηρες, λδʹ Βεβρανοί, λεʹ B Σκύθες, λϛʹ Κόλχοι, λζʹ Σάννιοι, ληʹ Βοσποριανοί, λθʹ Ἀσιανοί, μʹ Ἴσαυροι, μαʹ Λυκάονες, μβʹ Πισίδαι, μγʹ Γαλάται, μδʹ Παφλαγόνες, μεʹ Φρύγες, μϛʹ Ἕλληνες οἱ καὶ Ἀχαιοί, μζʹ Θετταλοί, μηʹ Μακεδόνες, μθʹ Θρᾶκες, νʹ Μυσοί, ναʹ Βέσσοι, νβʹ Δάρδανοι, νγʹ Σαρμάται, νδʹ Γερμανοί, νεʹ Παννώνιοι οἱ καὶ Παίονες, νϛʹ Νώρικοι, νζʹ Δελμάται, νηʹ Ῥωμαῖοι οἱ καὶ Κίτιοι, νθʹ Λίγυρες, ξʹ Γάλλοι οἱ καὶ Κελταῖοι, ξαʹ Ἀκυρτανοί, ξβʹ Βρεττανοί, ξγʹ Σπανοὶ οἱ καὶ Τυράννιοι, ξδʹ Μαῦροι, ξεʹ Μακουακοί, ξϛʹ Γετοῦλοι, ξζʹ Ἄφροι, ξηʹ Μάζικες πρῶτοι, Μάζικες δεύτεροι, C ξθʹ Ταράμαντες ἐξώτεροι, οʹ Βοράδες οἱ καὶ Μάκορες, οαʹ Κελτίονες οἱ καὶ Σποράδες, οβʹ Ναυσθοὶ οἱ καὶ Ναβῶται ἕως τῆς Αἰθιοπίας ἐκτείνουσιν.

Ταῦτά ἐστιν τὰ ἔθνη ἃ διέσπειρεν κύριος ὁ θεὸς ἐπὶ προσώπου τῆς γῆς κατὰ τὰς ἰδίας γλώσσας αὐτῶν οβʹ.

Ἀναγκαῖον καὶ τὰς ἀποικίας τῶν ἐθνῶν καὶ τὰς προσηγορίας αὐτῶν δηλῶσαι καὶ τὰ κλίματα ἀγνώστων ἐθνῶν πῶς οἰκοῦσι D

1. Γεργεσῖοι V. ibid. Ἰεβουσσαῖοι V. 2. Σαρμάται] Σαρμαῖοι V. 4. Σκύθαι P. 5. Λυκάωνες PV. 6. Παμφλαγῶνες P. ibid. Ἀρχαῖοι V. 9. Παίωνες PV. 10. Κίτιοι V, Τῖοι P. 11. Βριταννοί P. 13. Γαράμαντες P. 14. Μάκαρες V. 17. τὰς V, τῆς P.

Pherezaei, XXII. Evaei, XXIII. Amorrhaei, XXIV. Gergesaei, XXV. Jebusaei, XXVI. Idumaei, XXVII. Sarmatae, XXVIII. Phoenices, XXIX. Syri, XXX. Cilices, XXXI. Cappadoces, XXXII. Armenii, XXXIII. Iberes, XXXIV. Bebrani, XXXV. Scythae, XXXVI. Colchi, XXXVII. Sannii, XXXVIII. Bosporiani, XXXIX. Asiani, XL. Isauri, XLI. Lycaones, XLII. Pisidae, XLIII. Galatae, XLIV. Paphlagones, XLV. Phryges, XLVI. Graeci, qui et Achaei, XLVII. Thessali, XLVIII Macedones, IL. Thraces, L. Mysi, LI. Bessi, LII. Dardani, LIII. Sarmatae, LIV. Germani, LV. Pannonii, qui et Paeones, LVI. Norici, LVII. Delmatae, LVIII. Romani, qui Citiaei, LIX. Ligures, LX. Galli, qui et Celtaei, LXI. Aquitani, LXII. Britanni, LXIII. Hispani, qui Tirannii, LXIV. Mauri, LXV. Macuaci, LXVI. Getuli, LXVII. Afri, LXVIII. Mazices primi, Mazices secundi, LXIX. Garamantes exteriores, LXX. Borades, qui et Macores, LXXI. Celtiones, qui et Sporades, LXXII. Nausthi, qui et Nabotae, et usque ad Aethiopiam porriguntur.

Hae sunt gentes quas dispersit Dominus Deus super faciem terrae, secundum LXXII. proprias eorum linguas.

Operae pretium videtur etiam exponere gentium colonias, earumque nomina, ac ignotorum populorum, quomodo habitent, quique plus aliis

καὶ τίς πλεῖον τίνος. ἄρξομαι δὲ διαγράφειν ἀπὸ τῆς ἀνατολῆς καὶ μέχρι δύσεως πῶς οἰκοῦσι κατὰ τάξιν.

Περσῶν καὶ Μήδων ἄποικοι γεγόνασι Πάρθοι καὶ τὰ πέριξ ἔθνη τῆς Εἰρήνης ἕως τῆς κοίλης Συρίας.

Ἀράβων ἄποικοι γεγόνασιν Ἄραβες οἱ Εὐδαίμονες· τούτῳ γὰρ τῷ ὀνόματι προσαγορεύεται Ἀραβία Εὐδαίμων.

R 76 *Χαλδαίων ἄποικοι γεγόνασιν οἱ Μεσοποταμῖται.*

Μαδιηναίων ἄποικοι γεγόνασι οἱ Κηνδοκολπῖται καὶ οἱ Τρωγλοδῦται καὶ οἱ Ἰχθυοφάγοι.

P 33 *Ἑλλήνων ἔθνη καὶ προσηγορίαι ε΄, α΄ Ἴωνες, β΄ Ἀρκάδες, γ΄ Βοιωτοί, δ΄ Αἰολεῖς, ε΄ Λάκωνες.*

Τούτων δὲ ἄποικοι γεγόνασι α΄ Ποντικοί, β΄ Βιθυνοί, γ΄ Τρῶες, δ΄ Ἀσιανοί, ε΄ Κᾶρες, ϛ΄ Λύκιοι, ζ΄ Πάμφυλοι, η΄ Κυρηναῖοι.

Καὶ νῆσοι δὲ πλεῖσται, ἐξ ὧν αἱ καλούμεναι Κυκλάδες ια΄, α΄ Ἄνδρος, β΄ Τῆνος, γ΄ Τίω, δ΄ Νάξος, ε΄ Κέως, ϛ΄ Κοῦρος, ζ΄ Δῆλος, η΄ Σίφνος, θ΄ Ῥήναια, ι΄ Κύρνος, ια΄ Μαραθών, ὁμοῦ ια΄.

Εἰσὶ δὲ καὶ ἕτεραι νῆσοι μείζονες ιβ΄, αἵτινες καὶ πόλεις B *ἔχουσι πλείστας, αἱ καλούμεναι Σποράδες, ἐν αἷς ἀπῳκίσθησαν*

1. *πλεῖον*] Fort. *πλησίον*. ib. *γράφειν* P: 4. *Εἰρήνης*] *Κυρήνης* m. R. 8. *Μαδινέων* P. ibid. *Κηναιδοκολπεῖται* V. 11. *Αἰολεῖς* PV. 13. *Ἀδιανοί* P. 16. *Τῖνος* PV. ibid. *Καίως* PV. 17. *Ῥήναια*] *Νηραία* PV. Verum est *Ῥήνεια*. ibid. *Μαραθών*] *Μαραθοῦσσα*, ut videtur. 20. *πλείστας* m. RV, *πλεῖσται* P.

terras possideant. Scribere porro aggrediar ab Oriente, usque ad Occidentem, et ut quique habitent, ordine servato.

Persarum et Medorum coloni sunt Parthi, et populi qui circa Cyrenem circumjacent usque ad Coelesyriam.

Arabum coloni sunt Arabes Felices: hoc enim nomine Arabia Felix nuncupatur.

Chaldaeorum extitere Mesopotamitae.

Madineorum coloni fuere Cendocolpitae, et Troglodytae et Ichthyophagi.

Graecorum populi et nomina v. I. Iones, II. Arcades, III. Boeoti, IV. Aeoli, v. Lacones.

Horum coloni fuere, I. Pontici, II. Bithyni, III. Troes, IV. Adiani, v. Cares, VI. Lycii, VII. Pamphyli, VIII. et Cyrenaei.

Sunt et insulae plurimae, ex quibus eae, quae vocantur Cyclades XI. I. Andros, II. Tinos, III. Tio, IV. Naxus, v. Cea, VI. Curos, VII. Delus, VIII. Sephnus, IX. Nerea, X. Cyrnus, XI. Marathon.

Sunt et aliae majores insulae XII. quae plures civitates habent, Sporades appellatae, in quibus habitant Graecorum coloni. Sunt autem hae,

Ἕλληνες. εἰσὶ δὲ αὗται· α' Εὔβοια, β' Κρήτη, γ' Σικελία, δ' Κύπρος, ε' Κῶος, ς' Σάμος, ζ' Ῥόδος, η' Χίος, θ' Θάσος, ι' Λῆμνος, ια' Λέσβος, ιβ' Σαμοθρίκη.

Εἰσὶ δὲ ἀπὸ τῶν Βοιωτῶν Εὔβοια, ὥσπερ ἀπὸ τῶν Ἰώνων V 28
Ἰωνίδες πόλεις ις' ὀνομασταί· εἰσὶ δὲ αὗται· α' Κλαζομεναί, β' Μιτυλήνη, γ' Φώκαια, δ' Πριήνη, ε' Ἐρυθραί, ς' Σάμος; ζ' Τέως, η' Χίος, θ' Κολοφών, ι' Ἔφεσος, ια' Σμύρνα, ιβ' Πέρινθος, ιγ' Χαλκηδών, ιδ' Βυζάντιον, ιε' Πόντος, ις' Ἄμισσος.

Ῥωμαίων τῶν καὶ Κιτιαίων ἤτοι Λατίνων κεκλημένων ἔθνη C
καὶ ἀποικίαι εἰσὶ τέσσαρες, α' Τοῦσκοι, β' Ἀβηλλήσιοι, γ' Κάλαβροι, δ' Λουκανοί.

Ἄφρων ἔθνη καὶ ἀποικίαι εἰσὶ πέντε, α' Νεβδηνοί, β' Κνῆθοι, γ' Νουμίδες, δ' Νασαμῶνες, ε' Σαιοί.

Εἰσὶ δὲ αὐτοῖς καὶ νῆσοι πέντε, αἵτινες πόλεις ἔχουσιν. εἰσὶ δὲ αὗται· α' Σαρδανία, β' Κόρσικα, γ' Γῆρβα ἡ νῦν καλουμένη Μήνιγγα, δ' Κέρκινα, ε' Γάλατοι.

Μαύρων ἔθνη καὶ ἀποικίαι εἰσὶν τρεῖς, α' Μωσουδαμοί, β' Τησπιτανοί, γ' Σαρίνσης.

Σπανῶν τῶν καὶ Τυρινίων, καλουμένων δὲ Ταῤῥακονη-

3. Λίμνος PV. 5. Ἰωνήδες V, Ἰωνία P. ib. ις' m. RPV, δέκα R. 6. Πριΐνη PV. 9. Κητηαίων PV. 10. Ἀβηλλήσιοι V, Ἀμηλλήσιοι R, Ἀπηλλήσιοι P. ib. Κώλαβροι RV. 11. Λουκιανοί PV. 12. Ἀφ' ὧν erasor V, Ἀφ' ὧν R. 16. Μένηγγα PV. 17. Μωσουλαμοί P. 18. Τησπιτανοί] Τηγζητανοί P. ibid. Σαρίνσης] Σαρίνσοι P. 19. καὶ om. P. ib. Ταρακον. V, Παρακον. R.

i. Euboea, ii. Creta, iii. Sicilia, iv. Cyprus, v. Cous, vi. Samus, vii. Rhodus, viii. Chius, ix. Thasus, x. Lemnus, xi. Lesbus, xii. Samothrace.

Sunt etiam Boeotorum (coloniae) Euboea, quemadmodum et Ionum Ionia. Civitates celebriores xvi. hae sunt: i. Clazomenae, ii. Mitylene, iii. Phocaea, iv. Priene, v. Erythrae, vi. Samus, vii. Teos, viii. Chius, ix. Colophon, x. Ephesus, xi. Smyrna, xii. Perinthus, xiii. Chalcedon, xiv. Byzantium, xv. Pontus, xvi. Amissus.

Romanorum vero et Ceteaeorum, seu eorum qui Latini appellantur, populi et coloniae sunt iv. i. Tusci, ii. Apulienses, iii. Calabri, iv. Lucani.

Afrorum populi et coloniae sunt v. i. Nebdeni, ii. Cnethi, iii. Numides, iv. Nasamones, v. Saei.

Sunt et iis insulae v. quae urbes habent: eae autem sunt, i. Sardinia, ii. Corsica, iii. Gerba, quae hodie Meninx appellatur, iv. Cercina, v. Galati.

Maurorum gentes et coloniae iii. sunt, i. Mosulami, ii. Tigsitani, iii. Sarinsei.

Hispanorum Tyriniorum, qui Tarraconenses appellantur, populi et

σίων, ἔθνη καὶ ἀποικίαι εἰσὶν ε', α' Λυσιτανοί, β' Βαιτικοί, γ' Αὐτρίγονοι, δ' Βάσκονες, ε' Καλλαϊκοὶ οἱ καλούμενοι Ἄστορες.

Γάλλων δὲ τῶν καὶ Ναρβουσίων καλουμένων ἔθνη καὶ ἀποικίαι εἰσὶν δ', α' Λουγδουνοί, β' Βελικοί, γ' Σικανοί, δ' Ἐδνοί.

Γερμανῶν ἔθνη καὶ ἀποικίαι εἰσὶν ε', α' Μαρκόμαλοι, β' Βαρδουλοί, γ' Κουαδροί, δ' Βεριδοί, ε' Ἑρμοελοί.

Σαρματῶν ἔθνη καὶ ἀποικίαι εἰσὶ δύο, α' Ἁμαξόβιοι, β' Γραικοσαρμάται.

P 34 *Δέον γνῶναι καὶ τὰ κλίματα τῶν ἀγνώστων ἐθνῶν καὶ τὰ ὀνομαστὰ ὄρη καὶ τοὺς ἐπισήμους ποταμούς. ἄρξομαι διαγράφειν περὶ τῶν ἐθνῶν ἀπὸ τῆς ἀνατολῆς καὶ μέχρι δύσεως ὅπως οἰκοῦσιν.*

Ἀδιαβηνοὶ καὶ Ταϊανοὶ πέραν οἰκοῦσι τῶν Ἀράβων.

Ἀλαμοσσυνοὶ ἐσώτεροί εἰσιν τῶν Ἀράβων.

Σακκηνοὶ πέραν τῶν Ταϊανῶν.

Ἀλβανοὶ πέραν τῶν Κασπιανῶν πυλῶν οἰκοῦσιν.

Μαδιανισταὶ οἱ μείζονες, οἱ πολεμηθέντες ὑπὸ Μωϋσέως, ἐντὸς τῆς ἐρυθρᾶς θαλάσσης οἰκοῦσιν.

B *Ἡ μικρὰ δὲ Μαδιὰμ πέραν ἐστὶν τῆς ἐρυθρᾶς θαλάσσης,*

2. *Βάσκονις* V. ib. *Καλλιακοὶ* RV. ib. *Ἄσκορες* RV. 3. *Γάλλων*] *τ' ἄλλων* V, *ἄλλων* P. ib. *καὶ Ναρβουσίων* Ducangius, *Κεναρβουσίων* RV. 4. *Ἐδνοί*] *Ἐδουοί* P sola. 6. *Ἑρμοεολοί* V. 8. *Γραικοσ.* PV. 9. *καὶ τὰ*] *τὰ* P. 10. *διαγράφειν*] *δὲ γράφειν* P, *δὲ διαγράφειν* m. R. 13. *Ἀδαβηνοὶ* V. ib. *Ταϊνοὶ* V. 15. *Ταϊανῶν*] *Ταηινῶν* V. 17. *Μαδιανιταὶ* P sola. 19. *Οἱ* P.

coloniae sunt v. i. Lusitani, ii. Baetici, iii. Autrigoni, iv. Vascones, v. Callaeci, qui vocantur Astures.

Aliorum vero Narbonensium appellatorum populi et coloniae sunt iv. i. Lugduni, ii. Velici, iii. Sicani, iv. Hedui.

Germanorum nationes et coloniae v. sunt, i. Marcomali, ii. Varduli, iii. Quadri, iv. Veridi, v. Hermoëli.

Sarmatarum populi et coloniae sunt ii. i. Hamaxobii, ii. Graecosarmatae.

Ignotarum etiam gentium praestat nosse regiones, celebresque montes, et insignes fluvios. De populis porro scribere aggrediar, ducto ab Oriente usque ad Occidentem, prout habitant, initio.

Adiabeni et Tajani ultra Arabes habitant.

Alamossyni citeriores sunt Arabibus.

Sacceni ultra Taïanos.

Albani ultra Caspias portas habitant.

Madianitae majores, qui a Moyse devicti sunt, cis mare Erythraeum degunt.

πλησίον Αἰγύπτου, ὅπου ἐβασίλευσε Ῥαγουὴλ ὁ πενθερὸς Μωϋσέως.

Πέραν τῶν Καππαδοκῶν εἰς τὰ δεξιὰ οἰκοῦσιν Ἀρμένιοι καὶ Ἴβηρες καὶ Βεῤῥανοὶ καὶ Σκύθες καὶ Κόλχοι καὶ Βοσποριανοί. οἱ δὲ καλούμενοι Σάλλοι, οἱ καὶ Σανῖται κεκλημένοι, οἱ ἕως τοῦ Πόντου ἐκτείνοντες, ὅπου ἐστὶν ἡ παρεμβολὴ Ἄψαρος καὶ Σεβαστόπολις καὶ ὁ Ἴσσου λιμὴν καὶ Φᾶσις ποταμός, ἕως τοῦ Τραπεζοῦντος ἐκτείνει τὰ ἔθνη ταῦτα. R_80

Ὄρη δέ εἰσιν ὀνομαστὰ ιβʹ, αʹ Λίβανος ἐν Συρίᾳ, βʹ Καυκάσιον ἐν Σκυθίᾳ, γʹ Ταῦρος ἐν Κιλικίᾳ, δʹ Ἄτλας ἐν τῇ Λιβύῃ τῇ ἐξωτέρᾳ, εʹ Παρνασὸς ἐν Φωκίδι, ϛʹ Κιθαιρὼν ἐν Βοιωτίᾳ, ζʹ Ἑλικὼν ἐν Τελμισσῷ, ηʹ Παρθένιον ἐν τῇ Θρᾴκῃ, θʹ Νύσσος τὸ Σίνα ἐν τῇ Ἀραβίᾳ, ιʹ Λυκαβηττὸς ἐν Χίῳ, ιαʹ Πίννιον ἐν τῇ Ἰταλίᾳ, ιβʹ Ὄλυμπος ἐν Μακεδονίᾳ. C

Δεδειγμένων τῶν ὀνομαστῶν ὀρέων δέον καὶ τοὺς ἐπισήμους ποταμοὺς ἐξειπεῖν τοὺς ἀποχέοντας εἰς τὴν θάλασσαν. ποταμοὶ γάρ εἰσιν ὀνομαστοὶ μʹ· αʹ Ἰνδὸς ὁ καὶ Φεισών, βʹ Νεῖλος ὁ καὶ Γήων, γʹ Τίγρις, δʹ Εὐφράτης, εʹ Ἰορδάνης, ϛʹ Κήφισσος, ζʹ Τάναϊς, ηʹ Ἰσμηνός, θʹ Ἐρύμανθος, ιʹ Ἅλυς, ιαʹ Ἀσωπός, ιβʹ Θερμωδών, ιγʹ Ἐρασινός, ιδʹ Ῥεῖος, ιεʹ Ἀλφειός, ιϛʹ Βορυσθένης, ιζʹ Ταῦρος, ιηʹ Εὐρώτας, ιθʹ Μαίανδρος, κʹ Εἶσμος, V 29 D

7. *Οἴσσου* PV. 11. *ἐξωτέρᾳ* V, *δευτέρᾳ* P. 12. *τῇ* om. P. 13. *τὸ* om. P. *ib.* *τῇ* om. P. *ib.* *Λυκαβηττὸς* V, *Λυκαβιτὸς* P. 15. *δέον* om. P, post *ποταμοὺς* interpolato (*δεῖ*). 17. *Φησῶν* V. 18. *Ἰωρδάνης* P. *ib.* *Κίφισσος* PV. 19. *Τανάης* PV. 20. *Ἀλφιός* PV. *ibid.* *Βορυνθίνης* RV. 21. *Μέανδρος* PV.

Minor vero Madiam ultra mare Erythraeum jacet, juxta Aegyptum, Rhaguel Moysis socer regnavit.

Ultra Cappadoces ad dextram habitant Armenii, et Iberes, et Berrani, et Scythae, et Colchi, et Bosporiani. Qui vero dicuntur Salli, qui et Sanitae vocantur, ad Pontum usque protenduntur, ubi sunt Castra Asparus, et Sebastopolis, et Hoessi portus, Phasisque fluvius: usque ad Trapezuntem gentes illae porriguntur.

Sunt vero XII. montes celebriores. I. Libanus in Syria, II. Caucasus in Scythia, III. Taurus in Cilicia, IV. Atlas in Libya secunda, V. Parnassus in Phocide, VI. Cithaeron in Boeotia, VII. Helicon in Telmisso, VIII. Parthenius in Thracia, IX. Nyssus, Sina in Arabia, X. Lycabitus in Chio, XI. Appenninus in Italia, XII. Olympus in Macedonia.

Montibus celebrioribus enumeratis, recensendi sunt insignes fluvii qui in mare influunt. Sunt autem celebres fluvii XL. I. Indus, qui et Phison, II. Nilus, qui et Geon, III. Tigris, IV. Euphrates, V. Jordanis, VI. Cephissus, VII. Tanais, VIII. Isminus, IX. Erymanthus, X. Halys, XI. Asopus, XII. Thermodon, XIII. Erasinus, XIV. Rius, XV. Alpheus, XVI. Borysthenes, XVII. Taurus, XVIII. Eurotas, XIX. Meander, XX. Her-

καὶ Ἄξιος, κβ' Πύραμος, κγ' Βοῖος, κδ' Ἕβρος, κε' Σαγάριος, κς' Ἀχελῷος, κζ' Πηνειός, κη' Εὔηνος, κθ' Σπερχειός, λ' Κάϋστρος, λα' Σιμόεις, λβ' Σκάμανδρος, λγ' Στρυμών, λδ' Παρθένιος, λε' Ἴστρος, λς' Βαῖτις, λζ' Ῥῆνος, λη' Ῥοδανός, λθ' Ἠριδανός, μ' Θούβηρις ὁ νῦν καλούμενος Τίβερις.

Ἔδοξέ μοι καὶ τὰς ἐπισήμους πόλεις τῶν ἑπτὰ κλιμάτων ἐξειπεῖν.

P 35 Α'. Κλίματος πρώτου Λιβύης τῆς ἐν τῇ Αἰγύπτῳ, Νίγρης μητρόπολις Αἰθιοπίας τῆς ἐν τῇ αὐτῇ Αἰγύπτῳ, α' Μερόη, β' Πτολεμαΐς, γ' Ἀραβία, δ' Μοῦζα.

Β'. Κλίματος δευτέρου Αἰγύπτου Διόσπολις μεγάλη, Συήνη, Ἀμμωνιακή, Ὤασις μεγάλη.

Γ'. Κλίματος τρίτου Μαυριτανίας Ὀππιδάνεον, Ἀφρική, Καρχηδών, Ἀδράμυστος· Κυρήνης Ἀρσινόη, Πτολεμαΐς, Ταύ-
R 82 χειρα, Ἀπολλωνία, Κυρήνη· Αἰγύπτου, Παρατόνιον, Ἀλεξάνδρεια μεγάλη, Πηλούσιον, Μέμφις, Πτολεμαΐς Ἑρμείου· Συρίας Ἰουδαίας Καισάρεια, Ἀσκαλών, Τιβεριάς, Νεάπολις,
B Σεβαστή, Σκυθόπολις, Αἰλία· Ἀραβίας Πετραίας Πέτρα, Μήδαβα, Βόστρα· Βαβυλῶνος Τερηδών.

1. Ἔξιος R. *ibid.* Εὖρος P, Εὔρων V, Εὖρον R. 2. Πίννιος PV. *ib.* Εὔκνος PV. *ib.* Σπέρχιος PV. 3. Στύρμων RV. 4. Βέττης PV. 5. Ἰριδανὸς PV. 6. τὰς om. P. 9. αὐτῇ om. V. *ib.* Μερωὶ PV. 11. Συήνη] Σοίνη PV. 14. Ἀρσυνόη P. *ib.* Ταύχειρα] Ταυχηρά V, Ταυχιστά P. V. Wesseling. ad Antonin. p. 67. 17. Ἀρκαλὼν R, Ἀσκαλὼν m. R. 19. Μαίδαβα P. *ibid.* Τεριδών PV.

mus, xxi. Axius, xxii. Pyramus, xxiii. Danubius, xxiv. Hebrus, xxv. Sagarius, xxvi. Achelous, xxvii. Pinnius, xxviii. Eucnus, xxix. Sperchius, xxx. Caystrus, xxxi. Simois, xxxii. Scamander, xxxiii. Strymon, xxxiv. Parthenius, xxxv. Ister, xxxvi. Bettis, xxxvii. Rhenus, xxxviii. Rhodanus, xxxix. Eridanus, xl. Thuberis, qui nunc Tiberis appellatur.

Operae pretium videtur praeterea inclytas urbes septem climatum recensere.

I. Primi climatis Libyae in Aegypto, Nigre Metropolis Aethiopiae, quae est in ipsa Aegypto. i. Meroë, ii. Ptolemais, iii. Arabia, iv. Muza.

II. Secundi climatis Aegypti, Diospolis magna, Seine, Ammoniace, Oasis magna.

III. Climatis tertii Mauritaniae, Oppidaneum, Africa, Carthago, Adramystus, Cyrene, Arsynoë, Ptolemais, Tauchista, Appolonia, Cyrine. Aegypti, Paratonion, Alexandria magna, Pelusium, Memphis, Ptolemais Hermii, Syriae Judaeae Caesarea, Ascalon, Tyberias, Neapolis, Sebaste, Scythopolis, Aelia. Arabiae Petraeae, Petra, Midaba, Bostra. Babylonis, Teridon.

Δ'. Κλίματος τετάρτου Συρίας κοίλης, Ἀντιόχεια, Ἄρκα, Ἱεράπολις, Σελεύκεια, Ἀπάμεια, Αἴμισα, Σαμόσατα, Πάλμυρα, Ἄραβες, Ἡλιούπολις, Δαμασκός, Ζεῦγμα· Ἀραβίας Μεσοποταμίας Νίσιβι, Σελεύκεια· Βαβυλῶνος Βαβυλῶνα· Ἀσσυρίας Νίνος, Ἄρβηλα, Κτησιφών· Σουσιανῆς Σοῦσα· Μηδίας Ἐκβάτανα, Ἀρσακία.

Ε'. Κλίματος πέμπτου πόλεις ἐπίσημοι Ἰταλίας Νεάπολις, Ῥώμη, Ποτίολοι· Σικελίας Μεσσήνη· Θρᾴκης Αἶνος, Φιλιππούπολις, Ἀδριανούπολις, Τραϊανούπολις, Ἄβδηρα, Προ- C
κόννησος, Πείρινθος, Θάσος νῆσος, Σαμοθρᾴκη νῆσος, Χερρόνησος, Κοῖλα, Σηστός· Μακεδονίας Δυρράχιον, Θεσσαλονίκη, Ἀμφίπολις, Ἡράκλεια, Ἔδεσα, Πέλλα, Φίλιπποι, Κασάνδρεια, Λάρισσα, Ἀπολλωνιάς, Ἀδριανούπολις· Δαλματίας Ἐπίδαυρος· Ἑλλάδος Ἄργος· Βιθυνίας Νικομήδεια, Ἀπάμεια, Ἰουλιούπολις, Νίκαια· Ἀσίας μεγάλης Κύζικος, Ἀλεξάνδρεια Τρῳάς, Λάμψακος, Πέργαμος, Σμύρνα, Τένεδος, Ἔζαλοι, Ἄγκυρα, Σάρδη, Ἱεράπολις, Ἀπάμεια, Κιβύρα, Μιτυλήνη νῆσος, Χίος νῆσος· Γαλατίας Σινώπη, Πομπηιούπολις, Ἀντιόχεια, Πισιδία, Ἄγκυρα, Γέρμια, Ταύνιον, Πισσι- D
νοῦντα, Λύστρα· Παμφυλίας Ὕπαιπα· Καππαδοκίας Κώ-

2. 14. Ἀπαμία PV. ib. Σαμώσατα PV. 4. Νήσιβι PV. 5. Μηδείας PV. 8. Ποτίολοι om. P. ib. Μεσίνη P. 9. Προικόνησος P. 10. Πήρινθος V, Πέρινθος P. ib. Θάσσος PV, Θάσσης R. 11. Κύλα PV. ib. Σειστός P, Σιστός V. ib. Δυῤῥάχιον P κοὶλ. 12. Πέλα P. 13. Ἀπολονίας PV. 17. Κηβύρα PV. 18. Γαλατείας PV. 19. Πισσηδία PV. 20. Ὕπεπα PV.

IV. Quarti climatis, Coele-Syriae, Antiochia, Arca, Hierapolis, Seleucia, Apamia, Aemisa, Samosata, Palmyra, Arabes, Heliopolis, Damascus, Zeugma. Arabiae Mesopotamiae, Nesibis, Seleucia. Babylonis, Babylona. Assyriae Ninus, Arbela, Ctesiphon. Susianae, Susa. Mediae, Ecbatana, Arsacia.

V. Quinti climatis urbes insigniores. Italiae, Neapolis, Roma. Siciliae, Messana. Thraciae, Aenus, Philippopolis, Hadrianopolis, Trajanopolis, Abdera, Proeconesus, Perinthus, Thassus insula, Samothrace insula, Cherronesus, Cyla, Sestus. Macedoniae, Dyrrachium, Thessalonice, Amphipolis, Heraclea, Edessa, Pella, Philippi, Cassandria, Larissa, Apolloniae, Hadrianopolis. Dalmatiae, Epidaurus. Helladis, Arges. Bithyniae, Nicomedia, Apamea, Juliopolis, Nicaea. Asiae majoris, Cizycus, Alexandria, Troas, Lampsacus, Pergamus, Smyrna, Tenedus, Ezali, Ancyra, Sardis, Hierapolis, Apamia, Cebyra, Mitylene insula, Chios insula. Galatiae, Sinope, Pompeiopolis, Antiochia, Pisidia, Ancyra, Germia, Taunium, Pessinus, Lystra. Pamphyliae Hype-

μανα, Ἀμάσεια, Καισάρεια, Μάζακα, Μηλιτίνη, Εἰκόνιον, Νικόπολις, Νεοκαισάρεια, Σάταλα· Ἀρμενίας μεγάλης Κολχίς.

ς'. Κλίματος ἕκτου Λογδοῦνος, Δαλματίας Σαλῶναι· Καππαδοκίας Τραπεζοῦντα· Ἰταλίας Ῥάβεννα, Ἀκυληία· Μυσίας τῆς κάτω Ὀδησσός, Δορόστολος· Θρᾴκης Ἀπολλωνιάς, Ἀγχία-
R 84 λος, Βυζάντιον· Χερσονήσου Ἐλαιοῦς, Καλχηδών, Ἡράκλεια, Ἄμαστρα· Ἀσίας μικρᾶς Τένεδος· Γαλατίας Ἀμισός.

Ζ'. Κλίματος ἑβδόμου τοῦ διὰ Βορυσθένους **.

P 36

Περὶ ἀστρονομίας.

Ἐν τοῖς χρόνοις τῆς πυργοποιίας ἐκ τοῦ γένους τοῦ Ἀρφαξὰδ ἀνήρ τις Ἰνδὸς ἀνεφάνη σοφὸς ἀστρονόμος, ὀνόματι Ἀνδουβάριος, ὃς καὶ συνεγράψατο πρῶτος Ἰνδοῖς ἀστρονομίαν.

Ἐγεννήθη δὲ καὶ ἄλλος ἐκ τῆς φυλῆς τοῦ Σήμ, Χοὺς ὀνόματι, ὁ Αἰθίοψ, ὅστις ἐγέννησεν τὸν Νεβρὼδ γίγαντα τὸν τὴν Βαβυλωνίαν κτίσαντα, ὃν λέγουσιν οἱ Πέρσαι ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ, ὅντινα καλοῦσιν Ὠρίωνα. οὗτος ὁ Νεβρὼδ πρῶτος κατέδειξε τὸ κυνηγεῖν καὶ χορηγεῖν
B πᾶσι θηρία εἰς βρῶσιν· καὶ ἐπρώτευε Περσῶν.

Ἐκ δὲ τῆς αὐτῆς φυλῆς τοῦ Σὴμ τῆς κρατησάσης Συρίαν

1. Ἀμασία, Κεσσάρεια PV. 2. Κόλχης PV. 4. Ῥάβαινα PV. 5. Ὀδυσσός PV. ib. Δωρόστολος P. 6. Ἐλέους PV. 8. τοῦ om. P. Post Βορυσθένους indicavi lacunam. 10. Ἀρφαχσὰδ V, Ἀρφασὰδ R. 17. καὶ χορηγεῖν om. P.

pa. Cappadociae Comana, Amasia, Caesarea, Mezaca, Melitene, Iconium, Nicopolis, Neocaesarea, Satala. Armeniae majoris, Colchis.

VI. Sexti climatis, Lugdunum. Dalmatiae, Salonae. Cappadociae Trapezus. Italiae, Ravenna, Aquileia. Mysiae inferioris, Odyssus, Dorostolus. Thraciae, Apollonias, Anchialus, Byzantium. Chersonesi, Eleus, Calchedon, Heraclea, Amastra. Asiae minoris, Tenedus. Galatiae, Amisus.

VII. Climatis septimi, per Borysthenem.

De Astronomia.

Iis temporibus, quibus Turris condebatur, quidam Indus extitit, ex stirpe Arphaxad, sapientiae laude, et Astronomiae cognitione clarus, nomine Andubarius, qui primus apud Indos de Astronomica disciplina libros conscripsit.

Natus est praeterea alius ex tribu Sem, Chus appellatus, genere Aethiops, ex quo progenitus Nembrod gigas, Babylonis conditor, quem aiunt Persae inter Deos fuisse relatum, ac inter coelestia astra conspici, huncque Orionem nuncupant. Hic Nembrod ferarum ad escam venationem primus docuit, Persisque primus imperavit.

Ex eadem tribu Sem, primogeniti Noe filii, in Syria ac Perside,

καὶ τὴν Περσίδα καὶ τὰ λοιπὰ μέρη τῆς ἀνατολῆς τοῦ πρώτου υἱοῦ τοῦ Νῶε ἐγεννήθη καὶ ἀνεφάνη ἄνθρωπος γιγαντογενής, ὀνόματι Κρόνος, ἐπικληθεὶς ὑπὸ Δάμνου τοῦ ἰδίου πατρὸς εἰς τὴν ἐπωνυμίαν τοῦ πλάνητος ἀστέρος. ἐγένετο δὲ δυνατὸς οὗτος, ὅστις πρῶτος κατέδειξε τὸ βασιλεύειν ἤτοι ἄρχειν καὶ κρατεῖν τῶν ἄλλων ἀνθρώπων· καὶ ἐβασίλευσεν αὐτὸς πρῶτος τῆς Ἀσσυρίας ἔτη πολλά, καὶ ὑπέταξε πᾶσαν τὴν γῆν Περσίδος ἀπὸ τῆς Ἀσσυρίων ἀρξάμενος. ἦν δὲ φόβον ἔχων πρὸς πάντας, ὡς πολέ- C
μιος καὶ ἀναιρῶν πάντας· ὅστις εἶχε γυναῖκα τὴν Σεμίραμιν τὴν καὶ Ῥέαν καλουμένην παρὰ Ἀσσυρίοις διὰ τὸ καὶ αὐτὴν εἶναι ὑπερήφανον καὶ ἀλαζόνα. ἦν δὲ καὶ αὐτὴ ἐκ τῆς φυλῆς τοῦ Σὴμ τοῦ υἱοῦ Νῶε. ἔσχεν δὲ υἱὸν ὁ Κρόνος ὀνόματι Πῖκον, ὅστις ἀπὸ τῶν γονέων ἐκλήθη Ζεὺς εἰς ὄνομα καὶ αὐτὸς τοῦ πλανήτου ἀστέρος. ἔσχε δὲ καὶ ἄλλον υἱὸν ὁ αὐτὸς Κρόνος ὀνόματι Νίνον· ἔσχε δὲ καὶ θυγατέρα ὀνόματι Ἥραν. ἔλαβεν δὲ γυναῖκα Πῖκος ὁ καὶ Ζεὺς τὴν ἰδίαν αὐτοῦ ἀδελφὴν τὴν Ἥραν, ἣν καὶ Ζυγίην Νέμεσιν ἐκάλουν τινὲς εὐχαριστοῦντες αὐτῇ ὡς ἀγαθῇ καὶ δίκαια πάντα θελούσῃ· ἐξ ἧς ἔσχεν υἱὸν Πῖκος ὁ καὶ Ζεύς, ὃν ὠνόμασε Βῆλον διὰ τὸ ὀξύτατον εἶναι τὸν παῖδα. ὁ δὲ D
προπάτωρ Κρόνος ἐάσας τὸν ἑαυτοῦ υἱὸν Πῖκον ἐν τῇ Ἀσσυρίᾳ καὶ τὴν ἑαυτοῦ γυναῖκα Ῥέαν τὴν καὶ Σεμίραμιν μετὰ τοῦ Πίκου

1. μέρη Anonymus ante Malalam p. 17. 14. ed. Bonn., μέχρι P, μέχρις V. 3. Δόμνου P sola, Οὐρανοῦ Anon. 5. κατεδείξατο β. P. 9. Σεμιραμὴν PV plerumque. 10. τὸ καὶ] καὶ τὸ P. 11. ἀλαζῶνα PV. 15. θυγατέρα | θυγατέραν PV. ib. ἔλαβεν — Ἥραν om. P. 18. Πῖκος m. R, Νίνος PV. ib. ὁ καὶ] καὶ ὁ P. 19. τὸ om. P. 21. καὶ alterum om. P.

caeterisque regionibus ortum spectantibus regnante, ex gigantum prosapia procreatus vir floruit, Chronus seu Saturnus appellatus, cui id nominis a Domno patre inditum de errantis astri nomenclatura. Hic porro cum esset admodum potens, regnandi ac imperandi, hominesque sibi alios subjiciendi artem primus edocuit: ipseque primus annos multos in Assyria regnavit, tota deinde Perside, initio ab Assyriis facto, imperio suo subjecta, cum ab omnibus ut hostis et tyrannus terrori esset. Huic uxor fuit Semiramis, quam ob illius fastum et arrogantiam Rheam vocant Assyrii: ipsa perinde ex tribu Sem Noe filii oriunda. Saturno vero filius fuit Picus, qui a parentibus Jupiter nuncupatus est, de nomine pariter errantis astri. Habuit et alterum filium Saturnus, cui Ninus nomen fuit, et filiam, Junonem appellatam, quam Nemesin jugalem quidam vocarunt, quod bona esset, et quod justa omnia vellet. Ex ea filium habuit Picus seu Jupiter, quem Belum nominavit, quod pedum celeritate praestaret. Saturnus vero avus, permissa Jovi seu Pico filio Assyria, et relicta cum filio Pico seu Jove uxore sua Rhea seu Semiramide,

R 86 τοῦ καὶ Διὸς υἱοῦ αὐτοῦ. καὶ λαβὼν πολλὴν βοήθειαν ὄχλου ἀνθρώπων γενναίων ἀπῆλθεν ἐπὶ τὴν δύσιν ἀβασίλευτον οὖσαν, μὴ κρατουμένην ὑπό τινος βασιλεύοντος· καὶ ἐκράτησεν τῶν δυτικῶν μερῶν, ἀφανὴς ἐκ τῆς Συρίας γενόμενος. καὶ ἔμεινεν κρατῶν καὶ βασιλεύων τῆς δύσεως πάσης ἐπὶ ἔτη πολλά, καὶ ἔσχεν ἐκεῖ γυναῖκα ὀνόματι Φιλύραν, ἐξ ἧς ἔσχεν ἄλλον υἱὸν ὀνόματι Ἄφραον, ᾧτινι ἔδωκε τὴν πρὸς Λιβύην γῆν. καὶ ἐκράτει
P 37 τῶν ἐκεῖ βασιλεύων ὁ Ἄφραος, ὅστις ἔγημε τὴν Ἀστυνόμην ἐκ τῆς Λακερίας νήσου, καὶ ἐγέννησεν θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην εἰς ὄνομα καὶ αὐτὴν τοῦ πλάνητος ἀστέρος τῆς οὐρανίας Ἀφροδίτης, φιλόσοφον γενομένην, ὅστις ἐγαμήθη Ἀδώνιδι τῷ υἱῷ τοῦ Κινύρου, Ἀθηναίῳ, καὶ αὐτῷ φιλοσόφῳ, καὶ ἔμειναν
V 31 ὁμοῦ φιλοσοφοῦντες σωφρόνως ἄχρι θανάτου. ἔσχεν δὲ ἐκ τῆς αὐτῆς Φιλύρας ὁ Κρόνος καὶ ἄλλον υἱὸν τὸν λεγόμενον Χείρωνα, φιλόσοφον καὶ αὐτόν. μετὰ δὲ τὸ βασιλεῦσαι τὸν Πῖκον τὸν καὶ Δία τῆς Ἀσσυρίας ἔτη τριάκοντα ἐάσας καὶ αὐτὸς τὴν ἑαυτοῦ μητέρα καὶ τὴν Ἥραν τὴν ἑαυτοῦ ἀδελφὴν καὶ γυναῖκα,
B καὶ ποιήσας τὸν ἑαυτοῦ υἱὸν Βῆλον βασιλέα τῆς Ἀσσυρίας, ἀπῆλθεν ἐπὶ τὴν δύσιν πρὸς τὸν ἑαυτοῦ πατέρα τὸν Κρόνον. ὁ δὲ Βῆλος ἐβασίλευσεν τῶν Ἀσσυρίων ἔτη δύο, καὶ τελευτᾷ, ὅντινα οἱ Πέρσαι ἀπεθέωσαν. ὁ δὲ Κρόνος ἑωρακὼς τὸν ἑαυτοῦ υἱὸν Πῖκον τὸν καὶ Δία ἐλθόντα πρὸς αὐτὸν ἐν τῇ δύσει, παρεχώρη-

4. ἀφανὴς ἐν τῇ Ἀσσυρίᾳ γενόμενος P. 6. Φηαύραν P. 8. Ἀστυνόμην m. RP, Ἀστυέμην R, Ἀστυώμην V. 11. ὅστις] ἥτις m. R. 13. ἐκ τῆς αὐτῆς] ἐξ αὐτῆς τῆς P. 14. Φιαύρας V, Φηαύρας P.

magnisque copiarum ac generosorum virorum comparatis auxiliis, in regiones Occidentales, quae a nullo tum Rege obtinebantur, profectus has sibi asseruit, in Assyria deinceps non visus: annisque compluribus universo Occidenti imperavit. Uxorem duxit nomine Pheauram, ex qua filium alterum procreavit, Aphraum appellatum, cui terras versus Libyam regendas tradidit: ubi cum is imperaret, Astynomem ex Laceria insula oriundam sibi in conjugem adscivit, ex eaque filiam genuit, quam de errantis caelestis astri Veneris nomine Venerem appellavit, quae Philosophiae studia inprimis coluit. Illa autem Adonidi Atheniensi, Cinyrae filio, et ipsi Philosopho, nuptui tradita est, cum uterque in magna vitae modestia usque ad mortem Philosophiae operam una contulisset. Suscepit Saturnus ex Pheaura filium alium Chironem nuncupatum, et ipsum Philosophiae addictum. Picus vero seu Jupiter, cum Assyriorum regnum annis xxx. administrasset, relicta et ille matre sua, et Junone sorore simul et uxore, filioque Belo Assyriae Rege constituto, ipse ad Saturnum parentem in Occidentem concessit. Belus ergo cum Assyriis biennio imperasset, obiit, a Persis in Deorum coetum relatus. At Saturnus cum Picum seu Jovem ad se venientem in Occidentem comperisset, re-

σεν αὐτῷ τὴν βασιλείαν τῆς δύσεως· ἦν γὰρ γεγηρακὼς καὶ ταλαιπωρήσας ὁ αὐτὸς Κρόνος. καὶ ἐβασίλευσεν τῆς δύσεως, ἤγουν τῆς Ἰταλίας, Πῖκος ὁ καὶ Ζεὺς ὅλα ἔτη ξβ´ τῆς δὲ Ἀσσυρίας μετὰ τὸν Βῆλον ἐβασίλευσεν Νίνος ὁ ἄλλος υἱὸς Κρόνου, ὅστις καὶ τὴν ἑαυτοῦ μητέρα τὴν Σεμίραμιν ἔλαβεν γυναῖκα· ἐξ οὗ Πέρσαις νόμος γαμεῖν τὰς ἑαυτῶν μητέρας καὶ τὰς ἀδελφάς, διὰ τὸ καὶ τὸν Πῖκον λαβεῖν τὴν ἑαυτοῦ ἀδελφὴν τὴν Ἥραν γυ- C ναῖκα, καθὰ καὶ ὁ σοφώτατος Ὅμηρος ἐκτίθεται, Ἥρην προσεῖπε κασιγνήτην ἄλοχόν τε. καὶ τελευτᾷ ὁ Κρόνος. ὁ δὲ Νίνος ἐπικρατὴς γενόμενος τῆς Ἀσσυρίας κτίζει τὴν Νινευὴ πόλιν Ἀσσυρίοις, καὶ βασιλεύει πρῶτος ἐν αὐτῇ, ἔχων τὴν Σεμίραμιν τὴν καὶ Ῥέαν τὴν ἑαυτοῦ μητέρα καὶ γυναῖκα μεθ' ἑαυτοῦ.

Ἐξ αὐτοῦ οὖν τοῦ γένους ἐγεννήθη καὶ ὁ Ζωρόαστρος ὁ ἀ- R 88 στρονόμος Περσῶν ὁ περιβόητος, ὅστις μέλλων τελευτᾶν ηὔχετο ὑπὸ πυρὸς ἀναλωθῆναι οὐρανίου, εἰπὼν τοῖς Πέρσαις ὅτι ἐὰν καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων ἐπάρατε καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς ὑμῶν χώρας D ὅσον χρόνον φυλάττετε τὰ ἐμὰ ὀστέα. καὶ εὐξάμενος τὸν Ὠρίωνα ἀπὸ πυρὸς ἀερίου ἀνηλώθη. καὶ ἐποίησαν οἱ Πέρσαι καθὼς εἶπεν αὐτοῖς· καὶ ἔχουσι φυλάττοντες τὸ λείψανον αὐτοῦ τεφρωθὲν ἕως νῦν.

8. καθὰ] κατὰ PV. ib. Ὅμηρος] Il. π v. 432. σν. 356. ib. Ἥριν V, Ἥραν P. 12. Ῥαίαν PV. 14. Ζοροάστρης P. 15. ὁ om. P. 17. καύσῃ] ἐκκαύσει P, κεκαύσει RV. 18. λείψει P. ib. ἡμῶν χώρας V, χώρας ἡμῶν P.

gno Occidentis ultro ei cessit, cum senio ac aegritudine laboraret. Picus igitur qui et Jupiter in Occidente seu in Italia regnavit annos totos LXII. Assyriae vero post Belum imperavit Ninus, Saturni alius filius, qui matrem suam Semiramidem in uxorem duxit: unde Persis ex lege indultum, ut matres et sorores ducere in conjuges liceret, cum et Picus sororem Junonem matrimonio sibi pariter copulasset: quemadmodum et doctissimus Homerus ait, *Junonem sororem uxoremque sic fando adortus est.* Saturno extincto, Assyriae regno potitus Ninus, ac Ninive urbe exaedificata, in ea primus Assyriis imperavit, una cum Semiramide seu Rhea matre, eademque et uxore.

Ex illius igitur genere natus est Zoroastres, celebris apud Persas Astronomus, qui morti proximus, precatus est, ut coelesti igne consumeretur, Persas sic allocutus: *Cum ignis me combusserit, ex combustis meis ossibus, cineres tollite et servate: regnum enim a vestra regione non auferetur, quamdiu servabitis ossa mea.* Invocato deinde Orione, aerio igne consumptus est. Persae vero quod ille imperarat executi, illius reliquias in cineres redactas usque hodie servant.

Μετὰ δὲ Νίνον ἐβασίλευσεν Ἀσσυρίων Θούῤῥας ὀνόματι, ὅντινα μετωνόμασεν ὁ τούτου πατὴρ Ζάμης ὁ τῆς Ῥέας ἀδελφὸς Ἄρειν εἰς ὄνομα τοῦ πλάνητος ἀστέρος. οὗτος ἐγένετο πικρὸς πολεμιστής, ὅστις ἐπολέμησεν ἐπὶ τὰ ἀρκτῷα μέρη, ἐπελθὼν
P 38 καὶ Καυκάσῳ τινὶ καὶ αὐτῷ δυνατῷ ἀνθρώπῳ γιγαντογενεῖ καὶ πολεμικῷ, καταχθέντι ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ τοῦ υἱοῦ τοῦ Νῶε, καὶ πολεμήσας τὸν Καύκασον ἐφόνευσε καὶ παρέλαβε τὴν χώραν αὐτοῦ. καὶ ἐλθὼν ἐν τῇ Θρᾴκῃ ἐκεῖ τελευτήσας κεῖται· ᾧτινι Ἄρεϊ ἀνέστησαν πρῶτον στήλην οἱ Ἀσσύριοι καὶ ὡς θεὸν προσεκύνουν αὐτόν, καὶ ἕως τῆς νῦν καλοῦσι περσιστὶ τὸν Βαὰλ θεόν, ὅ ἐστι μεθερμηνευόμενον Ἄρης, πολέμων θεός. τούτου μνημονεύει ἡ προφητικὴ γραφὴ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων ὅτι ἠναγκάζοντο προσκυνεῖν αὐτῷ. καὶ μετὰ τὴν τελευτὴν Ἄρεως ἐβασίλευσεν ὁ Λάμης. καὶ μετὰ Λάμην ἐβασίλευ-
B σεν Ἀσσυρίων Σαρδανάπαλλος ὁ μέγας, ὅντινα Περσεὺς ὁ Δανάης ἐφόνευσεν καὶ ἀφείλατο τὴν βασιλείαν ἀπὸ Ἀσσυρίων, καὶ βασιλεύσας αὐτῶν εἰς τὸ ἴδιον αὐτοῦ ὄνομα ἐπεκάλεσεν αὐτοὺς Πέρσας. ἅτινα συνεγράψατο Σεμηρώνιος ὁ Βαβυλώνιος Πέρσης. ὁ δὲ ἀδελφὸς τοῦ Νίνου Πῖκος ὁ καὶ Ζεὺς βασιλεύων τῆς Ἰταλίας ἐπέμεινεν.

Ἐν δὲ τοῖς αὐτοῖς χρόνοις οὔτε πόλις οὔτε διοίκησίς τις ἦν

2. ὁ τῆς] ἐκ τῆς P. 5. Κανσάσῳ R, καύσας V. ib. τινὶ] ᾧ τινι PV. ib. δυνατῷ — πολεμικῷ om. P. 9. πρῶτον Ducangius cum Anon. p. 19. 3., πρώτην RV. 12. Δανιὴλ] XII. 15. Σαρδαναπαλός P hic et infra. 16. ἀφείλετο P. 17. ὄνομα αὐτοῦ P.

Post Ninum in Assyria regnavit Thurras appellatus, cui Zames pater, et Rheae frater, de errantis astri nomine, Martis cognomen indidit. Hic acerrimus fuit bellator, qui expeditione versus Aquilonis plagas suscepta, Caucasum, et ipsum de tribu vel genere Japhet, filii Noe, ortum, bello aggressus, eo interfecto, regnum illius invasit, progressusque in Thraciam, ibi extinctus jacet: cui quidem Marti tum primum statuam erexere Assyrii, a quibus exinde pro Deo cultus est, quemque ad haec usque tempora Persica lingua Baal Deum vocant, quod Graece idem valet ac Mars, bellorum Deus. Illius meminit in Prophetiarum libro Daniel, cum ait tres pueros illum adorare coactos fuisse. Post Martis excessum, Lames regnavit: post Lamem Assyriis imperavit magnus ille Sardanapalus, quem Perseus Danaes filius interfecit. Is ablato ab Assyriis regno, Assyriorum Rex constitutus, de suo nomine Persas illos appellavit, quemadmodum Semeronius Persa literis consignavit. Nini vero frater Picus, qui et Jupiter, Italiae regnum obtinuit.

Hisce temporibus, nulla erat civitas, nullaque provincia in Occi-

ἐν τῇ δύσει, ἀλλ' ἁπλῶς ᾠκεῖτο πᾶσα ἡ γῆ ἐκείνη ἀπὸ τῶν μετοικησάντων ἐκεῖ ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ υἱοῦ Νῶε.

Ἔζησεν δὲ Πῖκος ὁ καὶ Ζεὺς ἔτη ρκ', κρατῶν τὴν δύσιν καὶ V 32
βασιλεύων αὐτῆς· καὶ ἔσχεν υἱοὺς πολλοὺς καὶ θυγατέρας ἀπὸ
τῶν εὐπρεπῶν γυναικῶν. ἔσχεν δὲ ὁ αὐτὸς Πῖκος ὁ καὶ Ζεὺς C
υἱὸν ὀνόματι Φαῦνον, ὃν καὶ Ἑρμῆν ἐκάλεσεν εἰς ὄνομα τοῦ R 90
πλάνητος ἀστέρος. ὁ αὐτὸς Πῖκος ὁ καὶ Ζεὺς ἔσχε μετὰ τὸν Ἑρμῆν καὶ Ἡρακλέα, καὶ μετ' ἐκεῖνον ἄλλον υἱὸν τὸν Περσέα ἀπὸ εὐπρεποῦς γυναικὸς ὀνόματι Δανάης, θυγατρὸς τοῦ Ἀκρισίου τοῦ καταγομένου ἐκ τῆς Ἀργείων χώρας, περὶ ἧς ἐμυθολόγησεν Εὐριπίδης ὁ σοφώτατος ἐν τῇ συντάξει τοῦ αὐτοῦ δράματος ἐν κιβωτῷ τινι βληθεῖσαν τὴν Δανάην βληθῆναι κατὰ θάλασσαν, ὡς φθαρεῖσαν ὑπὸ Διὸς μεταβληθέντος εἰς χρυσόν. ὁ δὲ σοφώτατος Βρούττιος ὁ ἱστορικὸς καὶ χρονογράφος ἐξέθετο ὡς ὁ αὐ-
τὸς Πῖκος ὁ καὶ Ζεὺς οὖσαν ταύτην ἐν κουβουκλείῳ παρακειμένῳ D
τῇ θαλάσσῃ πολλῷ χρυσίῳ πείσας ἠδυνήθη προτρεψάμενος ἐκβαλεῖν, ἥντινα ἁρπάσας ὡς πάνυ εὐπρεπῆ ἔφθειρεν, καὶ ἐξ αὐτῆς ἔσχεν υἱὸν ὀνόματι Περσέα τὸν προειρημένον· ὅντινα πτερωτὸν γράφουσιν διὰ τὸ ἐκ παιδόθεν περίοργον εἶναι τὸν παῖδα. ὅθεν καὶ ὁ τούτου πατὴρ Πῖκος ὁ καὶ Ζεὺς ἐδίδαξεν αὐτὸν πράττειν καὶ τελεῖν τὴν μαγείαν τοῦ μυσαροῦ σκύφου, διδάξας αὐτὸν πάντα τὰ περὶ αὐτοῦ μυστικὰ καὶ δυσσεβῆ πλανήματα, λέγων

5. ὁ prius om. P. 7. ὁ prius om. P sola, V (?). 12. κληθῆναι R. 14. Βρούτιος P. 15. παρακειμένων R. 19. τὸν] αὐτὸν P.

dente, sed simpliciter habitabatur terra illa ab iis qui huc transmigrarant ex tribu Japhet filii Noe.

Vixit Picus, qui et Jupiter appellatus, annos cxx. cum Occidenti ac Italiae imperasset, multis utriusque sexus ex praestantibus forma feminis susceptis liberis. Extitit eidem Pico seu Jovi filius Faunus, quem de errantis astri nomine Mercurium nuncupavit. Habuit praeterea idem Picus, seu Jupiter, post Mercurium, Herculem: et post illum filium alterum Persea ex elegantis formae femina Danae appellata, Acrisii ex Argivorum regione oriundi sorore, quam doctissimus finxit Euripides, in ea quam illius nomine inscripsit Tragoedia, in arcam quandam inclusam, in mare deinde dejectam, quod a Jove in aurum transformato fuisset corrupta. At doctissimus Brutius Historicus et Chronographus tradit Danaem, cum in cubiculo, quod mare spectabat, conclusa esset, multo auro suasisse Picum seu Jovem ut ex eo educeretur, raptamque ut forma praestantissimam corrupisse, ac ex ea procreasse filium Perseum nomine, cujus meminimus: quem quidem alatum vulgo ideo effingunt, quod a puero, acri ac versatili esset ingenio: unde et illius pater Picus, seu Jupiter, magicis execrandi clypei artibus illum instruxit, omniaque illius arcana et impia mysteria ac fallacias edocuit, cum haec illi diceret:

.αὐτῷ ὅτι Νικᾷς πάντας τοὺς πολεμίους ἐξ αὐτοῦ καὶ τοὺς
P 39 ἐχθρούς σου καὶ πάντα ἄνθρωπον ἐναντιον καὶ πάντας τοὺς βλέποντας ἐν αὐτῷ τῷ προσώπῳ τῆς Γοργόνης τυφλουμένους καὶ μένοντας ὡσεὶ νεκροὺς καὶ κατασφαζομένους ὑπὸ σοῦ. καὶ λοιπὸν ὁ Περσεὺς πεισθεὶς τῷ ἰδίῳ πατρὶ Πίκῳ τῷ καὶ Διὶ εἰς τὸν μετὰ ταῦτα χρόνον μετὰ τελευτὴν τοῦ αὐτοῦ πατρὸς Πίκου τοῦ καὶ Διὸς τελείας ἡλικίας γενόμενος ἐπεθύμησε τῆς τῶν Ἀσσυρίων βασιλείας, διαφθονούμενος τοῖς τέκνοις τοῦ Νίνου τοῦ θείου αὐτοῦ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ. καὶ χρηματισθεὶς ἀπῆλθεν ἐν τῇ χώρᾳ τῆς Λιβύης, καὶ κατὰ τὴν χώραν ὑπήντησεν τῷ αὐτῷ Περσεῖ μία παρθένος κόρη τελεία χωρική, ἀγρίας ἔχουσα τὰς
B τρίχας καὶ ὀφθαλμούς. καὶ στήσας ἐπηρώτησεν αὐτὴν λέγων, Τί σου τὸ ὄνομα; ἡ δὲ εἶπεν μετὰ παῤῥησίας Μέδουσα. καὶ κρατήσας αὐτῆς τὰς τρίχας τῆς κεφαλῆς ᾧ ἐβάσταζεν λογχοδρεπάνῳ ξίφει ἀπέτεμεν αὐτῆς τὴν κεφαλήν. καὶ λαβὼν αὐτὸς ὁ Περσεὺς εὐθέως ἐτέλεσε τὴν κάραν μυστικῶς, καθὼς ἐδιδάχθη ὑπὸ τοῦ ἰδίου πατρὸς Πίκου τοῦ καὶ Διός· ἥντινα ἐβάσταζεν εἰς ἰδίαν βοήθειαν πρὸς πάντας ἐχθροὺς καὶ πολεμίους
R 92 εἰς τὸ ὑποτάσσειν καὶ ἀναιρεῖν. τὴν δὲ κάραν ἐκάλεσεν Γοργόνην διὰ τὸ ὀξὺ τοῦ βοηθήματος καὶ διὰ τὸ ἐνεργὲς πρὸς τοὺς ἐναντίους. κἀκεῖθεν περάσας ἦλθεν ἐπὶ τὴν Αἰθιοπίαν χώραν, ἥτις ἐβασιλεύετο ὑπὸ τοῦ Κηφέως, καὶ εὑρηκὼς ἐκεῖ ἱερὸν Πο-

4. κατασφαξομένους P. 13. Μηδοῦσα PV. 14. λογχοδρεπάνῳ P, λογχωδρεπάνῳ V, λόγχῳ δρεπάνῳ R. 19. δὲ om. P. ib. κάρην R. 20. καὶ διὰ] καὶ P. ib. ἐνεργῶς R.

Omnes hostes tuos ac inimicos quotquotque tibi adversabuntur, cum isto clypeo superabis: ita ut quicunque in eo Gorgonis caput respicient, confestim occaecati, veluti exanimes, et a te interfecti permaneant. Hisce a parente Pico, seu Jove, dictis confisus Perseus, postmodum eo extincto, cum adolevisset, perfectaeque esset aetatis, regnum Assyriorum affectavit, cum a Nini patrui, parentis sui fratris, filiis aegre ferret, illud possideri. Consultoque oraculo, dum versus Libyam proficiscitur, occurrit illi adultae aetatis puella virgo, rustica, capillis et oculis feritatem quandam praeferens: cumque constitisset, hanc ita est affatus: *Quod tibi nomen est?* Illa vero confidenter respondit, *Medusa.* Tum ille arreptis capitis capillis, quo accinctus erat falcato gladio, caput illius dissecuit, quam Perseus acceptam magicis incantationibus initiavit, quemadmodum a parente Pico seu Jove edoctus fuerat, eamque contra hostes omnes ac inimicos auxilio sibi futuram detulit, quo suae eos subjiceret potestati, vel interficeret. Caput vero, propter auxilii celeritatem, et vim contra hostes, Gorgonem appellavit.

Profectus inde, in Aethiopiam concessit, cui tum Cephaeus imperabat, ubi repertum Neptuni templum ingressus, in eo manentem et a Ce-

σειδῶνος εἰσῆλθεν ἐν αὐτῷ, καὶ εἶδεν ἐν τῷ ἱερῷ παραμένουσαν C
κόρην κατὰ τάγμα τοῦ ἰδίου αὐτῆς πατρὸς Κηφέως ἐκδοθεῖσαν
καὶ λεγομένην Ἀνδρομέδαν παρθένον. καὶ ταύτην ἀπέσπασεν
ἀπὸ τοῦ ἱεροῦ, καὶ φθείρας αὐτὴν ὡς εὐπρεπῆ ἔλαβεν εἰς γυναῖκα.
καὶ καταπλεύσας ἀνεχώρησεν ἐκ τῆς χώρας ἐκείνης, καὶ
ἐρχόμενος κατὰ γῆν Ἀσσυρίων κατήντησεν ἐν τῇ χώρᾳ τῆς Λυκαονίας.
καὶ γνόντες οἱ Λυκάονες ἀντιστάντες ἐπολέμησαν αὐτῷ·
καὶ χρησάμενος τῇ βοηθείᾳ τῆς κάρας τῆς Γοργόνης ἐνίκησεν
τοὺς Λυκάονας. καὶ εὑρηκὼς κώμην λεγομένην Ἄμανδραν,
ἐποίησεν αὐτὴν πόλιν, καὶ ἔστησεν τὴν ἑαυτοῦ στήλην ἔξω τῶν V 33
πυλῶν βαστάζουσαν τὸ ἀντεικόνισμα τῆς Γοργόνης, καὶ θυ- D
σίαν ποιήσας ἐκάλεσε τὴν τύχην τῆς πόλεως Περσίδα εἰς τὸ
ἴδιον αὐτοῦ ὄνομα· ἥτις στήλη ἕως τοῦ παρόντος ἐκεῖσε ἵσταται·
ἥντινα πόλιν ἐκάλεσεν Εἰκόνιον, διότι πρὸ τῆς νίκης εἰκόνα τὴν
τῆς Γοργόνης ἐκεῖ ἔλαβεν. ὑπέταξε δὲ καὶ τὰς ἄλλας χώρας
μηδενὸς ἀνθισταμένου. ἐρχόμενος δὲ ἐπὶ τὴν Ἰσαυρίαν καὶ Κιλικίαν,
καὶ ἀντιστάσεως γενομένης αὐτῷ πολεμίων, ἐχρηματίσθη
ὅτι ἀπὸ τοῦ ἵππου ἀποβὰς τὸν σὸν ταρσὸν τοῦ ποδὸς εἰς τὴν
χθόνα πήξας νίκην λάβοις. καὶ κατελθὼν ἐκ τοῦ ἰδίου ἵππου
ἐν τῇ λεγομένῃ κώμῃ Ἀνδρασῷ ἐκεῖ τὸν ταρσὸν τοῦ ποδὸς ἔπηξεν.
καὶ νικήσας τῇ χρήσει τῆς Γοργόνης ἐποίησε τὴν αὐτὴν P 40
κώμην πόλιν, ἥντινα ἐκάλεσε Ταρσὸν ἐκ τοῦ χρησμοῦ τοῦ ἰδίου

1. ἴδεν PV. 3. Ἀνδρομήδαν PV. 6. Λυκαωνίας — Λυκάωνες — Λυκάωνας PV. 11. Γοργόνης V a correctore, Γοργονίας P. 14. διότι m. R PV, διὰ τί R. ibid. πρώτης νίκης εἰκόνα σὺν τῇ Γοργόνῃ Malalas p. 36. 19., πρὸ τῆς νίκης εἰκόνα σὺν τῆς Γοργόνης RV. 18. σὸν om. P. 22. τοῦ ἰδίου] ἰδίου P.

phaeo parente huic addictam virginem conspexit, nomine Andromedam: quam e templo abstractam, quod eximia esset forma, corruptam primo, in uxorem sibi postea adscivit. Istinc deinde solvens, discessit, profectusque versus Assyrios, in Lycaoniam venit: cujus adventu percepto, hunc bello aggressi sunt Lycaones. Is vero Gorgonis capitis usus ope, horum victor statim extitit, reperto vico Amandra appellato, ex eo civitatem confecit, et suam ipsius statuam, Gorgonis caput deferentem, extra portas erexit, peractisque sacrificiis, urbis Fortunam de suo nomine Persidem nuncupavit: quae quidem statua ad nostra usque tempora perstitit. Urbem vero Iconium appellavit, quod per Gorgonis imaginem ac figuram victoriam ibi esset consecutus. Subjecit sibi postea multas alias provincias, nemine obsistente. Exinde in Isauriam et Ciliciam profectus, hostibus illius transitum cum copiis impedientibus, hocce oraculum accepit: *Ex equo cum desilieris, calcem pedis in terram si defigas potieris victoria.* Cumque ex equo descendisset in vico Andraso dicto, pedis calcem ibi defixit: et Gorgonis ope victor factus, ex vico

αὐτοῦ ποδός, θυσιάσας κόρην ἀδαῆ ὀνόματι Παρθενόπην εἰς ἀπο-
καθαρισμὸν τῆς πόλεως. καὶ εὐχαριστήσας ὥρμησεν ἐκεῖθεν
διὰ τοῦ Ἀργαίου ὄρους κατὰ Ἀσσυρίων, καὶ νικήσας αὐτοὺς
καὶ φονεύσας τὸν βασιλέα αὐτῶν Σαρδανάπαλλον τὸν ἐκ τοῦ γέ-
νους αὐτοῦ καταγόμενον ὑπέταξεν αὐτοὺς καὶ ἐβασίλευσεν αὐτῶν
ἔτη νγ', καὶ ἐπ' ὀνόματι αὐτοῦ ἐκάλεσεν αὐτοὺς Πέρσας, ἀφε-
λὼν ἀπὸ Ἀσσυρίων τὴν βασιλείαν καὶ τὸ ὄνομα. καὶ ἐφύτευσεν
B δένδρα καὶ ἐκάλεσεν περσέας. οὐ μόνον δὲ ἐκεῖ, ἀλλὰ καὶ ἐν
R 94 τοῖς Αἰγυπτιακοῖς μέρεσιν ἐφύτευσεν τὰς περσέας εἰς μνήμην αὐ-
τοῦ. ἐδίδαξε δὲ καὶ τοὺς Πέρσας τὴν τελετὴν τοῦ μυσαροῦ καὶ
ἀθεμίτου σκύφου, καὶ ἐκάλεσεν τὴν χώραν Μήδων. ὁ δὲ αὐ-
τὸς Περσεὺς μετὰ τὸ βασιλεῦσαι τῆς Περσικῆς χώρας ἔτη πολλὰ
μαθὼν ὅτι ἐν τῇ Συρίᾳ διάγουσιν ἐκ τοῦ Ἄργους Ἰωνῖται, ἦλθεν
ἐπὶ τὴν Συρίαν πρὸς αὐτοὺς εἰς τὸ Σίλπιον ὄρος, ὡς πρὸς ἰδίους
συγγενεῖς· οἵτινες δεξάμενοι αὐτὸν μετὰ πάσης τιμῆς προσεκύνη-
σαν. γνόντες αὐτὸν οἱ αὐτοὶ Ἀργεῖοι Ἰωπολῖται ὅτι καὶ αὐτὸς ἐκ
τοῦ γένους τῶν Ἀργείων κατάγεται, χαρέντες ἀνύμνησαν αὐτόν.
C χειμῶνος δὲ γενομένου, καὶ πλημμυρήσαντος πολὺ τοῦ παρακει-
μένου ποταμοῦ τῇ Ἰωνιτῶν πόλει τοῦ λεγομένου Δράκοντος, νυνὶ
δὲ Ὀρέντου καλουμένου, ᾔτησεν τοὺς Ἰωνίτας εὔξασθαι· καὶ ἐν
τῷ εὔχεσθαι αὐτοὺς καὶ μυσταγωγεῖν κατηνέχθη σφαῖρα πυρὸς

3. Ἀργίου PV. 8. δὲ om P. 15. τιμῆς m. RV, χαρᾶς P. 20. Ὀρέντου] Ὄρεν τοῦ V, Ὄρισεν τοῦ P. De forma Ὀρέντης diximus ad Malalam p. 266. 3. 21. αὐτοὺς καὶ μυσταγωγεῖν om. P. *ibid.* κατηνέχθη post οὐρανοῦ ponit P.

urbem confecit, quam ex edito de suo pede oraculo Tarsum vocavit, ad urbis expiationem sacrificata innupta puella, Parthenope appellata. Gratiis persolutis, inde per Argeum montem contra Assyrios perrexit, iisque debellatis, ac interfecto eorum Rege Sardanapalo, qui ex illius genere ortum ducebat, hos ditioni suae subdidit, quibus imperavit annos LV. et de suo nomine Persas nuncupavit, abolito Assyriorum et regno et nomine. Sevit et arbores, quas Persicas vocavit, nec ibi solum, sed et easdem Persicas in sui memoriam plantavit. Docuit praeterea Persas nefandi ac execrandi clypei istius sacra et incantationes, regionemque illam Mediam appellavit. Perseus porro cum multos annos Persis imperasset, atque accepisset Ionitas ex Argivis oriundos in Syria versari, profectus, ad Silpium montem, venit in Syriam, tanquam ad cognatos et gentiles suos, a quibus cum ingenti gaudio exceptus est et cultus. Argivi quippe Iopolitae Perseum ex Argivis genus ducere certiores facti, hunc summis ultro laudibus celebrarunt. Tempestate vero ingruente, ac adjacente Ionitarum civitati fluvio Dracone, quem nunc Orisen seu Orientem vocant, exundante, monuit Ionitas ut preces funderent: quibus deprecanti-

κεραυνοῦ ἐκ τοῦ οὐρανοῦ, ἥτις ἐποίησε παυθῆναι τὸν χειμῶνα καὶ τὰ τοῦ ποταμοῦ ἐπισχεθῆναι ῥεῖθρα. καὶ θαυμάσας ἐπὶ τῷ γεγονότι ὁ Περσεὺς ἐξ ἐκείνου τοῦ πυρὸς ἀνῆψεν εὐθέως πῦρ, καὶ εἶχε φυλαττόμενον μεθ' ἑαυτοῦ. ὅπερ πῦρ ἐβάστασεν ἀπιὼν ἐπὶ τὰ Περσικὰ μέρη εἰς τὰ βασίλεια, καὶ ἐδίδαξεν αὐτοὺς τιμᾶν ἐκεῖνο τὸ πῦρ, ὅπερ ἔλεγεν αὐτοῖς ἑωρακέναι ἐκ τοῦ οὐρανοῦ κατενεχθῆναι· ὅπερ πῦρ καὶ ἕως τοῦ παρόντος ἐν τιμῇ ἔχουσιν οἱ Πέρσαι ὡς θεῖον. ὁ δὲ αὐτὸς Περσεὺς ἔκτισεν τοῖς Ἰω- D
πολίταις ἱερόν, ὃ ἐπωνόμασεν Πυρὸς ἀθανάτου. ὁμοίως δὲ καὶ εἰς τὰ Περσικὰ ἔκτισεν ἱερὸν πυρός, καταστήσας ἐκεῖ διακονεῖν αὐτῷ ἄνδρας εὐλαβεῖς, οὕστινας ἐκάλεσεν μάγους. ταῦτα Πausανίας ὁ σοφώτατος χρονογράφος συνεγράψατο.

Καὶ μετὰ καιρὸν ἐλθὼν ὁ Κηφεὺς βασιλεὺς κατ' αὐτοῦ ἐκ τῆς Αἰθιοπίας, ὁ πατὴρ τῆς Ἀνδρομέδας, ἐπολέμησεν αὐτῷ· ἦν δὲ ὁ Κηφεὺς ἐκ τοῦ γήρους μὴ βλέπων. καὶ ἀκούσας ὁ Περσεὺς ὅτι πολεμεῖ αὐτῷ, ὀργισθεὶς πάνυ ἐξῆλθεν κατ' αὐτοῦ V 34
βαστάζων τὴν κάραν, καὶ ὑπέδειξεν αὐτῷ αὐτήν· καὶ ὁ Κηφεὺς P 41
μὴ βλέπων ἐπέβαινεν ἐπ' αὐτὸν ἔφιππος. ὁ δὲ Περσεὺς ἀγνοῶν ὅτι οὐ συνορᾷ ἐλογίσατο μηκέτι ἐνεργεῖν τὴν κάραν ἧς κατεῖχε Γοργόνης, καὶ στρέψας αὐτὴν ἐφ' ἑαυτὸν προσέσχεν αὐτῇ, καὶ τυφλωθεὶς ἔμεινεν ὡσεὶ νεκρὸς καὶ ἀνῃρέθη. καὶ ἐβασίλευσεν Περσῶν ὁ υἱὸς αὐτοῦ τοῦ Περσέως καὶ τῆς Ἀνδρομέδας Μέρος,

2. τὰ om. P. 14. Ἀνδρομήδας P. Sic et postea. 15. καὶ om. P. 19. ἐλογίσατο] καὶ ἐλογίσατο P, καὶ λογίσατο R. 20. Γοργόνης] τῆς Γοργόνης P.

bus, ignis fulminei globulus e coelo delapsus, tempestatem continuo sedavit, fluminisque fluctus exundantes coercuit. Qua re attonitus Perseus, ex illo igne protinus ignem accendit, sollicitoque apud se conservavit: quem reversus in Persidem in Palatium detulit, docuitque Persas ignem illum colere, quem aiebat e coelo se vidente delapsum: quem quidem ignem ad haecce usque tempora Persae ut divinum colunt. Idem vero Perseus Iopolitis fanum excitavit, cui Ignis immortalis appellationem indidit. Similiter quoque in Perside templum extruxit Igni sacrum, cui ministrando religiosos quosdam viros praefecit, quos Magos appellavit. Haec Pausanias doctissimus chronographus literis tradidit.

Haud multo post temporis ex Aethiopia profectus Rex Cepheus, Andromedae pater, bellum illi intulit: erat autem ex senio Cepheus oculis captus. Perseus autem cum intellexisset se a Cepheo bello peti, ingenti correptus ira, contra illum profectus caput (Gorgonis) secum tulit, illique obvertit: sed Cepheus luminibus captus equo vectus in illum irruit. Perseus ignarus Cepheum oculis orbatum, ratus vim nullam amplius inesse Gorgonis capiti, illud in se convertit, quod dum contemplatur, occoecatus, ac veluti exanimis manet, statimque interficitur. Perseo

R 96 *προβληθεὶς ἐκ τοῦ ἰδίου αὐτοῦ πάππου τοῦ Κηφέως τοῦ βασιλέως Αἰθιοπίας, ὅστις ἐκέλευσεν, καὶ ἐκαύθη ἡ μυσαρὰ κεφαλὴ τῆς Γοργόνης, καὶ ἀνεχώρησεν ἐπὶ τὴν ἰδίαν αὐτοῦ χώραν· καὶ*
B *ἔμεινεν λοιπὸν τὸ γένος τοῦ Περσέως βασιλεῦον τῆς Βαβυλωνίων χώρας.*

Ἐν δὲ τοῖς προειρημένοις χρόνοις τοῦ Πίκου Διὸς ἐπὶ τὰ δυτικὰ μέρη ἀναφαίνεταί τις ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ ἐν τῇ χώρᾳ τῶν Ἀργείων ὀνόματι Ἴναχος· ὅστις πρῶτος ἐβασίλευσεν ἐν τῇ χώρᾳ ἐκείνῃ, καὶ κτίζει πόλιν ἐκεῖ εἰς ὄνομα τῆς Σελήνης, ἐτίμα γὰρ αὐτήν, ἣν ἐκάλεσεν Ἰώπολιν· οἱ γὰρ Ἀργεῖοι μυστικῶς τὸ ὄνομα τῆς Σελήνης τὸ ἀπόκρυφον Ἰὼ λέγουσιν ἕως ἄρτι. ἔστησε δὲ καὶ ἐν τῇ πόλει ἱερὸν τῇ Σελήνῃ, ἀναστήσας αὐτῇ στήλην χαλκῆν, ἐν ᾗ ἐπέγραψεν, Ἰὼ μάκαιρα λαμπαδηφόρε. ὁ
C *δὲ αὐτὸς Ἴναχος ἠγάγετο γυναῖκα Μελίαν ὀνόματι, ἐξ ἧς ἔσχεν παῖδας τρεῖς, Κάσον καὶ Βῆλον, καὶ θυγατέρα ἣν ἐπωνόμασεν Ἰὼ εἰς ὄνομα τῆς Σελήνης· ἦν δὲ ἡ κόρη εὐπρεπεστάτη πάνυ. τότε ὁ Πῖκος ὁ καὶ Ζεὺς ἀκούσας περὶ τοῦ Ἰνάχου ὅτι ἔχει θυγατέρα παρθένον εὐπρεπεστάτην, ὁ βασιλεὺς τῶν δυτικῶν μερῶν πέμψας ἥρπασεν τὴν Ἰώ, θυγατέρα τοῦ Ἰνάχου, καὶ ταύτην φθείρει, καὶ ἔγκυον ποιήσας ἔσχεν ἐξ αὐτῆς θυγατέρα, ἥντινα ἐκάλεσε Λιβύην. ἡ δὲ Ἰὼ ἐπαχθῶς ἔφερεν ἐπὶ τῷ συμβάντι αὐτῇ, καὶ μὴ θέλουσα συνεῖναι τῷ Πίκῳ Διί, διαλαθοῦσα αὐτὸν*

2. *ἐκέλευσεν* Malalas p. 39. 8., *ἐβασίλευσεν* PV. 13. *λαμπαδηφόρα* R, *λαμπαδηφόρος* P. 15. *Κάσον* Malalas p. 28. 10. *Ἰάσον* V, *Ἰάσονα* P. ib. *θυγατέραν* R. 16. *ἡ* om. P. 22. *αὐτῷ* P.

extincto Persarum regnum excepit illius ex Andromeda filius Meros, ab avo Cepheo Aethiopiae Rege proclamatus, et ab eo in Regem constitutus. Cepheo deinde post concrematum Gorgonis nefandum caput, in suum regnum reverso, Persei deinceps genus Babylonicae provinciae imperavit.

Praedictis autem Pici Jovis temporibus, in occiduis plagis, quidam extitit ex tribu Japhet, in Argivorum regione, nomine Inachus, qui in hisce oris primus regnavi, urbemque ibi condidit, quam de Lunae nomine, cui impensius erat addictus, Iopolim appellavit. Argivi quippe mystica quadam ac abstrusa significatione ita Lunae nomen etiamnum efferunt, hancque Io vocitant.

In ea porro urbe fanum Lunae sacrum aedificavit, erecta illius statua aerea, cum hac inscriptione, Io beata lucifera. Inachus autem ipse Meliam uxorem duxit, ex qua tres liberos genuit, Jasonem, Belum, et filiam, quam de Lunae nomine Io nuncupavit: puellam caeterum forma perelegranti. Picus vero, seu Jupiter, cum inaudisset esse Inacho filiam virginem admodum formosam, ipse tum Rex Occidentis, per emissarios raptam Inachi filiam, compressit, ex eoque illa gravida facta Io, filiam procreavit, cui Libyae nomen dedit. Verum illatam sibi

καὶ πάντας καὶ τὴν θυγατέρα ἑαυτῆς ἐάσασα καὶ τὸν πατέρα αὐτῆς Ἴναχον, αἰσχυνομένη ἔφυγεν εἰς Αἴγυπτον καταπλεύσασα· D καὶ εἰσελθοῦσα ἐν τῇ χώρᾳ τῆς Αἰγύπτου ἡ Ἰὼ ἐκεῖ διῆγεν. καὶ μαθοῦσα μετὰ χρόνον ὅτι Ἑρμῆς βασιλεύει τῆς Αἰγύπτου ὁ υἱὸς Πίκου Διός, καὶ φοβηθεῖσα τὸν αὐτὸν Ἑρμῆν, φεύγει ἐκεῖθεν εἰς τὸ Σίλπιον ὄρος, εἰς ὅπερ Σέλευκος ὁ Νικάτωρ ὁ Μακεδὼν ἔκτισεν πόλιν μετὰ χρόνους καὶ ἐκάλεσεν εἰς ὄνομα τοῦ ἰδίου αὐτοῦ υἱοῦ Ἀντιόχειαν τὴν μεγάλην. ἀπελθοῦσα δὲ εἰς τὴν Συρίαν ἐκείνη ἡ Ἰὼ ἐκεῖ ἐτελεύτησεν, ὡς Θεόφιλος ὁ σοφώτατος συνεγράψατο. ἕτεροι δὲ ἐξέθεντο ὅτι ἐν τῇ Αἰγύπτῳ τελευτᾷ Ἰώ.

Ὁ δὲ Ἴναχος ὁ αὐτῆς πατὴρ εἰς ἀναζήτησιν αὐτῆς ἔπεμψεν R 98 P 42 τοὺς ἀδελφοὺς αὐτῆς καὶ τοὺς συγγενεῖς καὶ τὸν Τριπτόλεμον καὶ Ἀργείους μετ᾽ αὐτῶν· οἵτινες πανταχοῦ ζητήσαντες οὐχ εὗρον αὐτήν. γνόντες δὲ οἱ αὐτοὶ Ἀργεῖοι Ἰωπολῖται ὅτι ἐτελεύτησεν εἰς τὴν Συρίαν ἡ Ἰώ, ἐλθόντες ἔμειναν ἐκεῖ πρὸς μικρόν, κρούοντες ἕκαστον οἶκον καὶ λέγοντες αὐτοῦ, Ψυχὴ ἡ Ἰὼ σωζέσθω. καὶ ἐν ὁράματι χρηματισθέντες εἶδον δάμαλιν λέγουσαν αὐτοῖς ἀνθρωπίνῃ φωνῇ ὅτι ἐνταῦθά εἰμι ἐγὼ ἡ Ἰώ. καὶ διυπνισθέντες ἔμειναν θαυμάζοντες τὴν τοῦ ὁράματος δύναμιν, καὶ λογισάμενοι ὅτι ἐν τῷ ὄρει αὐτῷ κεῖται ἡ Ἰώ, κτίσαντες αὐτῇ ἱερὸν οἴκησαν ἐκεῖ εἰς τὸ Σίλπιον ὄρος, κτίσαντες καὶ πόλιν ἑαυτοῖς, V 35

6. Σέλευκος ὁ] ὁ Σέλευκος P. 7. ἑαυτοῦ P. 12. Τριπόλεμον V. 13. Ἀργεῖοι αὐτοὶ P. 16. ἴδον PV. 20. ᾤκησαν P. ibid. Σήλπιον PV saepius.

injuriam Io indigne ferens, Picique Jovis aversata concubitum, clam eo caeterisque omnibus, suaque relicta prole, clam etiam ipso parente Inacho, quem verebatur, gemebunda in Aegyptum fugit: quo cum navigio pervenisset, ibi sedem fixit. Verum cum post aliquod tempus accepisset Mercurium Pici Jovis filium Aegypto imperare, hunc metuens, inde fuga in Sipilum montem evasit, ubi Seleucus Nicator Macedo urbem postea condidit, quam de filii nomine Antiochiam magnam nuncupavit. Profecta deinde eadem Io in Syriam, ibi extincta est, quemadmodum scripsit doctissimus Theophilus. Alii contra tradiderunt eam in Aegypto defunctam.

Inachus autem Iûs pater ad eam inquirendam illius fratres et propinquos, necnon et Triptolemum, et cum illis Argivos misit: qui ubique vestigantes illam non repererunt. Posteaquam autem didicere Argivi Iopolitae in Syria mortuam, illuc profecti, aliquandiu ibi haeserunt, singulas domos pulsantes, dicentesque, *Hic salva sit anima Iûs.* Accepto postmodum per speciem quandam visionis oraculo, visi sunt videre buculam humana voce sibi haec dicentem: *Hic ego sum Io.* E somno excitati ii, super vi somnii mansere attoniti: tum vero sibi in animum induxere, eam jacere in monte Sipilo, conditoque in illius nomen templo,

B ἣν ἐκάλεσαν Ἰώπολιν· οἵτινες ἐκλήθησαν παρὰ τοῖς αὐτοῖς Σύροις Ἰωνῖται ἕως νῦν. οἱ οὖν Σύροι Ἀντιοχεῖς ἐξ ἐκείνου τοῦ χρόνου ἀφ' οὗ οἱ Ἀργεῖοι ἐλθόντες ἐζήτησαν τὴν Ἰὼ ποιοῦσι τὴν μνήμην, κρούοντες τῷ καιρῷ αὐτῷ κατ' ἔτος τοὺς Ἑλλήνων οἴκους ἕως ἄρτι, διὰ τοῦτο δὲ οἱ Ἀργεῖοι ἔμειναν αὐτοὶ ἐκεῖ εἰς τὴν Συρίαν, ἐπειδὴ ἐκελεύσθησαν ἀπολυόμενοι ἀπὸ τῆς Ἀργείων χώρας ὑπὸ τοῦ βασιλέως αὐτῶν Ἰνάχου τοῦ πατρὸς τῆς Ἰὼ ὅτι Εἰ μὴ ἀγάγητέ μοι τὴν θυγατέρα μου Ἰώ, μὴ ὑποστρέψητε ἐπὶ τὴν Ἀργείων χώραν. ἔκτισαν οὖν ἐκεῖ οἱ αὐτοὶ Ἰωνῖται ἱερὸν Κρονίωνος εἰς τὸ Σίλπιον ὄρος.

C Ἡ δὲ Λιβύη θυγάτηρ τῆς Ἰὼ καὶ τοῦ Πίκου Διὸς ἐγαμήθη τινὶ ὀνόματι Ποσειδῶνι· ἐξ ὧν ἐτέχθη ὁ Ἀγήνωρ καὶ Βῆλος καὶ Ἐνυάλιος, παῖδες τρεῖς. ὁ δὲ Ἀγήνωρ καὶ Βῆλος κατέλαβον τὴν Συρίαν καὶ αὐτοὶ εἰς ἀναζήτησιν τῆς Ἰώ, εἰ ἔτι ζῇ, καὶ τῶν ἀδελφῶν αὐτῆς, εἴπερ εἰσίν· ἦσαν γὰρ αὐτῶν συγγενεῖς. καὶ μηδένα εὑρηκότες ὑπέστρεψαν. καὶ ὁ μὲν Βῆλος ἐπὶ τὴν Αἴγυπτον ἀπῆλθεν, κἀκεῖ γαμήσας τὴν Σίδαν ἔσχεν υἱοὺς δύο Αἴγυπτον καὶ Δαναόν. ὁ δὲ Ἀγήνωρ ἐπὶ τὴν Φοινίκην ἐλθὼν ἠγάγετο τὴν Τυρώ· καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Τύρον εἰς ὄνομα τῆς αὐτοῦ γαμετῆς. ἐβασίλευσεν οὖν ἐκεῖ, καὶ ἔσχεν υἱὸν ἐκ
D τῆς Τυρὼ τὸν Κάδμον, τὸν Φοίνικα, καὶ τὸν Σύρον καὶ τὸν Κίλικα, καὶ θυγατέρα, ἣν ἐκάλεσεν Εὐρώπην. καὶ βασιλεύει ὁ

2. τοῦ om. P. 5. δὲ om. P. 8. ἀγάγετε PV. Verum habet Malalas p. 30. 1. 15. Fort. εἰ περίεισιν. ib. εἴσαν PV. ib. αὐτῷ P. 16. τὴν] τὸν P. 21. Κήλικα PV. 22. ἐκάλεσεν] ἐβασίλευσεν P.

ibi sedes fixerunt, urbemque aedificarunt, Iopoleos indita appellatione: cujus cives hodieque a Syris Ionitae nuncupantur. Ab eo igitur tempore ex quo Io quaeritantes Argivi advenerant, ad rei testandam memoriam, Syri Antiocheni, stato tempore, quotannis Graecorum aedes pulsant. Atque ex ea causa Argivi in Syria consederunt. Haec enim in mandatis ex Argivorum regione soluturi acceperant ab Inacho: *Nisi filiam meam Io ad me reduxeritis, in Argivorum regionem ne revertimini.* Condiderunt ergo ibi iidem Ionitae in monte Sipilo fanum Iovi Saturnio.

Nupsit autem Libya, Pici Jovis et Iûs filia, cuidam Neptuno appellato, ex quibus tres nati filii, Agenor, Belus, et Enyalius seu Mavors. Agenor et Belus in Syriam pervenere, quo inquirerent an Io viveret, et an illius fratres essent superstites, (cum iis quippe affinitas intercedebat) nemineque ex illis reperto reversi sunt. Ac Belus quidem in Aegyptum se contulit, ibique ducta in uxorem Sida, binos procreavit filios, Aegyptum et Danaum. Agenor vero profectus in Phoenicen, Tyron accepit in conjugem, urbemque condidit, quam de uxoris nomine Tyrum nuncupavit. Istic ergo regnavit, ac filium ex Tyro suscepit, Cadmum, Phoenicem, praeterea Syrum et Cilicem, ac filiam quam Europam appellavit.

Ἀγήνωρ τῶν μερῶν ἐκείνων ἔτη ξγʹ. τὴν δὲ Εὐρώπην οἱ ποιηταὶ ἐξέθεντο θυγατέρα εἶναι τοῦ Φοίνικος τοῦ υἱοῦ τοῦ Ἀγήνορος βασιλέως, μὴ ὁμοφωνήσαντες τοῖς χρονογράφοις.

Ἐπιῤῥίψας δὲ τῇ πόλει Τύρῳ Ταῦρος ὁ τῆς Κρήτης βασι- R 100
λεύς, ναυμαχίᾳ πολεμήσας παρέλαβε τὴν αὐτὴν Τύρον πόλιν ἑσπέρας, καὶ πραιδεύσας αὐτὴν ἔλαβεν ἐξ αὐτῆς αἰχμαλώτους πολλούς· ἐν οἷς ἔλαβεν καὶ τὴν αὐτὴν Εὐρώπην τὴν θυγατέρα P 43
τοῦ βασιλέως Ἀγήνορος. ὁ δὲ Ἀγήνωρ καὶ οἱ υἱοὶ αὐτοῦ ἐπολέμουν ἐπὶ τὸ λίμιτον. καὶ γνοὺς ὁ Ταῦρος ὁ τῆς Κρήτης βασιλεύς, ἐξαίφνης ἐπέῤῥιψεν τῇ χώρᾳ διὰ θαλάσσης, ἥστινος ἑσπέρας μνήμην ποιοῦσιν οἱ Τύριοι ἕως τῆς νῦν, λέγοντες Κακὴ ὀψινή.

Ἀπήγαγεν δὲ τὴν Εὐρώπην εἰς τὴν ἰδίαν πατρίδα ὁ Ταῦρος, ἥντινα καὶ γυναῖκα ἔλαβεν οὖσαν παρθένον καὶ εὐπρεπῆ, καὶ ἐκάλεσε τὰ μέρη ἐκεῖνα εἰς ὄνομα αὐτῆς Εὐρώπεια. ἐξ ἧς ἔσχεν υἱὸν τὸν Μίνων, καθὼς Εὐριπίδης ὁ σοφώτατος ποιητὴς συνεγράψατο, ὅς φησι, Ζεὺς μεταβληθεὶς εἰς Ταῦρον τὴν Εὐρώπην ἥρπασεν.

Ἔκτισε δὲ ἐν τῇ αὐτῇ νήσῳ τῆς Κρήτης ὁ αὐτὸς Ταῦρος βα- B
σιλεὺς πόλιν μεγάλην, ἣν ἐκάλεσεν Γόρτυναν εἰς ὄνομα τῆς αὐτοῦ μητρὸς τῆς ἐκγόνου Πίκου Διός. τὴν δὲ τῆς αὐτῆς πόλεως

3. μὴ] καὶ P. 6. πραιδεύσας Malalas p. 30. 21., παιδεύσας PV. 8. οἱ om. V. 9. λίμητον PV. 11. κἀκεῖ ὀφινῇ PV. Conf. Malalas p. 31.-3. 16. Μῆνον PV. 17. ὅς m. R., ὡς PV. 19. τῆς — βασιλεὺς om. P. 20. ἣν δὲ ἐκάλεσεν P.

In istis porro regionibus regnavit Agenor an. LXIII. Verum Europam Phoenicis, Agenoris Regis filii natam faciunt Poetae: qua in re cum Chronographis consentiunt.

Taurus deinde Cretae Rex in urbem Tyrum irruptionem fecit, commissoque navali proelio hanc sub vesperum expugnavit, eaque castigata, magnam captivorum copiam abduxit, quos inter extitit Europa Regis Agenoris filia. Agenor vero cum filiis in regni limitibus bellum gerebat: quod ubi Cretae Rex Taurus accepit, repentino incursu per mare regionem invasit: cujus quidem vesperi memoriam Tyrii hodieque celebrant, dicentes, *Et ibi sero sapit.*

Taurus Europam in patriam abduxit, eamque sibi conjugio sociavit, cum virgo esset et admodum formosa, vocavitque regiones illas de illius nomine Europaeas. Ex hac suscepit Minoen, quemadmodum scripsit doctissimus Poeta Euripides, cum ait, *Jupiter in Taurum transformatus Europam rapuit.*

Condidit vero in ipsa insula urbem magnam, quam de matris Pici,

τύχην ἐκάλεσεν Καλλινίκην εἰς ὄνομα τῆς παρ' αὐτοῦ σφαγιασθείσης κόρης.

Ὁ δὲ Ἀγήνωρ βασιλεὺς ἐλθὼν ἐκ τοῦ πολέμου ἐν τῇ Τύρῳ, καὶ μαθὼν τὴν γενομένην παρ' αὐτοῦ ἐξαίφνης ἔφοδόν τε καὶ ἁρπαγήν, εὐθέως ἐξέπεμψεν τὸν Κάδμον διὰ τὴν Εὐρώπην μετὰ χρημάτων πολλῶν καὶ στρατοῦ. μέλλων δὲ τελευτᾶν ὁ αὐτὸς βασιλεὺς Ἀγήνωρ διετάξατο πᾶσαν ἣν ὑπέταξε γῆν μερίσασθαι τοὺς τρεῖς αὐτοῦ υἱούς. καὶ ἔλαβεν ὁ Φοῖνιξ τὴν Τύρον καὶ τὴν V 36 C αὐτῆς ἐνορίαν, καλέσας τὴν ὑπ' αὐτὸν γενομένην γῆν Φοινίκην. ὁμοίως δὲ καὶ ὁ Σύρος εἰς τὸ ἴδιον ὄνομα τὴν ἐπιλαχοῦσαν αὐτῷ χώραν ἐκάλεσεν Συρίαν. ὡσαύτως δὲ καὶ ὁ Κίλιξ τὸ ἐπιλαχὸν αὐτῷ κλῖμα ἐκάλεσεν Κιλικίαν εἰς τὸ ἴδιον αὐτοῦ ὄνομα.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ἡρακλῆς ὁ φιλόσοφος ὁ λεγόμενος Τύριος, ὅστις ἐφεῦρε τὴν κογχύλην. ἐωριζόμενος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου πόλεως εἶδε ποιμενικὸν κύνα ἐσθίοντα τὴν λεγομένην κογχύλην, ὅπερ ἐστὶ μικρὸν εἶδος θαλάσσιον κογχυλιῶδες, καὶ ποιμένα νομίζοντα αἱ- D R 102 μάσσειν τὸν κύνα λαβόντα ἀπὸ προβάτου πόκον ἐρέας καὶ καταμάσσοντα τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς καὶ βάπτοντα τὸν πόκον. ὁ δὲ Ἡρακλῆς προσεσχηκὼς μὴ εἶναι αὐτὸ αἷμα, ἀλλὰ βάμματος παραξένου ἀρετήν, ἐθαύμασεν· καὶ γνοὺς ὅτι ἐκ τῆς κογχύλης ἐστὶ τὸ κατιὸν βάμμα τοῦ πόκου,

6. βασιλεὺς ὁ αὐτὸς P. 7. ἐπέταξε R. 9. συνορίαν P. ibid. αὐτῶν PV. 11. ἐπιλαχὼν PV. 15. ἴδε PV. 17. κοχλιῶδες P. 22. κατιὸν om. P.

Jovis neptis, nomine Gortynam nuncupavit. Urbis vero fortunam Callinicen appellavit, de virginis a se hic immolatae nomine.

Porro Rex Agenor cum ab expeditione Tyrum venisset, audissetque subitam Tauri irruptionem, abactamque ab eo praedam, statim Cadmum cum multa pecunia militaribusque copiis propter Europam misit. Tandem Rex Agenor moriturus, statuit, ut universa quam subegerat regio inter tres suos filios divideretur. Ac Phoenix quidem Tyrum et circumjacentes oras in sortem habuit, quam de suo nomine Phoenicen appellavit. Syrus pariter quam sortitus est provinciam a suo nomine Syriam, quemadmodum Cilix suam a suo quoque Ciliciam nuncupavit.

Ea tempestate qua Phoenix regnabat, vixit Hercules Philosophus, Tyrius cognominatus, qui primus purpuram invenit. Cum enim circa maritima Tyri littora spatiaretur, pastorium vidit canem, qui ostreum, quod Conchylion dicitur, parvumque genus est conchae marinae, mandebat, ac pastorem qui sanguinem emittentem canem observarat, arrepto ex ove vellere, quod ab ore canis profluebat extersit, ipso ex eo tincto vellere. Cum id non sanguinem, sed peregrini alicujus liquoris virtutem esse animadvertisset Hercules, obstupuit, statimque acceptam a pastore

εἰληφὼς ἐκ τοῦ ποιμένος τὸν πόκον, ὡς μέγα δῶρον τοῦτον προσήγαγε τῷ βασιλεῖ τῆς Τύρου Φοίνικι. καὶ ἐκπλαγεὶς καὶ αὐτὸς ἐπὶ τῇ θέᾳ τῆς ξένης χροιᾶς τοῦ βάμματος, θαυμάζων τὴν αὐτοῦ εὕρεσιν, ἐκέλευσεν ἐξ αὐτοῦ τοῦ βάμματος τῆς κογχύλης βαφῆναι ἐρέαν, καὶ γενέσθαι αὐτῷ περιβόλαιον βασιλικόν, καὶ ἐφόρεσεν αὐτὸς πρῶτος περιβόλαιον ἐκ πορφύρας, καὶ πάν- P 44 τες ἐθαύμασαν τὴν αὐτὴν βασιλικὴν ἐσθῆτα, ὡς ξένην θέαν. καὶ ἐξ ἐκείνου ἐκέλευσεν ὁ βασιλεὺς Φοῖνιξ μηδένα ὑπὸ τὴν αὐτοῦ ὄντα βασιλείαν τολμᾶν φορεῖν τὴν αὐτὴν ἐνάρετον ἐκ γῆς καὶ θαλάσσης οὖσαν φορεσίαν, εἰ μήτι αὐτὸν καὶ τοὺς μετ' αὐτὸν βασιλεύοντας Φοινίκης, διὰ τὸ γινώσκεσθαι τὸν βασιλέα τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει ἐκ τῆς θαυμαστῆς καὶ παραξένου φορεσίας· πρώην γὰρ οὐκ ἐγίνωσκον οἱ ἄνθρωποι βάπτειν χρόας ἱματίων, ἀλλὰ τὰς τῶν προβάτων ἐρέας, οἷαι καὶ ἦσαν, ἐποίουν ἱμάτια καὶ ἐφόρουν, καὶ οἱ βασιλεῖς δὲ τὰς αὐτὰς χρόας τῆς τυχούσης ἐρέας ἱμάτια ἐφόρουν, καὶ οὐκ εὐχερῶς ἐγνωρίζοντο τῷ ὑπηκόῳ πλήθει οἱ βασιλεῖς. λοιπὸν οἱ κατὰ τὸν τόπον βασι- B λεῖς ἤτοι ῥῆγες καὶ τοπάρχαι ἀκηκοότες τοῦτο, οἱ μὲν περιβόλαια, οἱ δὲ φίβλας χρυσᾶς καὶ μαντία ἐπενόησαν ἑαυτοῖς πορφύρεα ἢ ῥούσεα, βάπτοντες αὐτὰ ἀπὸ βοτανῶν, καὶ ἐφόρουν διὰ τὸ γινώσκεσθαι τῷ ἰδίῳ πλήθει, καθὼς Παλαίφατος ὁ σοφώτατος ἐξέθετο.

7. *αὐτὴν* om. P. Hoc reddendum Malalae p. 32. 16. pro *αὐτοῦ*. 8. *ὑπὸ τὴν αὐτοῦ*] *τῶν ὑπὸ τοῦ* V. 15. *καὶ οἱ — ἐφόρουν* addidi ex Malala p. 33. 3. 17. *οἱ*] *οὐ* P. 18. *εἶτοι* PV. *ibid.* *τούτῳ* PV. 19. *χρυσᾶς* om. P. *ib.* *μαντεῖα* PV. *ib.* *πορφυραῖα* PV. *ib.* *ῥούσαια* V, *ῥουσσαῖα* P.

lanam, quam succo illo Conchylii tinctam noverat, ad Phoenicem Tyri Regem, magni loco muneris, detulit: qui et ipse attonitus novi et insoliti coloris tincturae aspectu, illiusque inventionem demiratus, Conchylii liquore lanas infici praecepit, et ex iis regiam sibi vestem confici, sicque primus purpureum vestimentum gestavit, adeo ut ad regiam vestem, tanquam ad inusitatum hactenus spectaculum universi obstupescerent. Ab eo tempore Rex Phoenix edicto cavit, ne quisquam ex suae ditioni subjectis magnificum hujusmodi e terra marique collatum cultum deferret, praeter ipsum, ac Phoeniciae Reges. Unde hactenus ab exercitu et populo universo ex admirando isto et insolito gestamine Rex dignoscitur. Antea quippe coloribus vestes inficere minime noverant homines, sed ex ovium vellere, qualiacunque erant, has conficiebant, atque deferebant, ita ut aegre principes a subjecta plebe secernerentur. Verum deinceps neque Imperatores vel Reges aut Toparchae huicce legi paruere: quorum alii indumenta, alii fibulatas vestes, et pallia sibi confecere coloris purpurei vel russei, ex herbarum scilicet succis expresso eodem colore, eaque gestarunt, quo a propriis subditis dignoscerentur, ut tradidit doctissimus Palaephatus.

Περὶ τοῦ σώματος τοῦ Πίκου.

Ἐν ᾧ χρόνῳ Πῖκος ὁ καὶ Ζεὺς ἐτελεύτα, ἐκέλευσεν τὸ λείψανον αὐτοῦ ταφὲν τεθῆναι ἐν τῇ Κρήτῃ νήσῳ, καὶ κτίσαντες αὐτῷ ναὸν οἱ αὐτοῦ παῖδες ἔθηκαν αὐτὸν ἐκεῖ ἐν τῇ Κρήτῃ νήσῳ ἐν μνήματι, ὅπερ μνῆμά ἐστιν ἐν τῇ αὐτῇ Κρήτῃ κείμενον ἕως
C τοῦ παρόντος, ἐν ᾧ ἐπιγέγραπται, Ἐνθάδε κεῖται θανὼν Πῖκος ὁ καὶ Ζεύς, ὃν καὶ Δία καλοῦσιν. περὶ οὗ συνεγράψατο Διόδωρος ὁ σοφώτατος χρονογράφος, ὃς καὶ ἐν τῇ ἐκθέσει τοῦ συγγράμματος αὐτοῦ τοῦ περὶ θεῶν εἶπεν ὅτι Ζεὺς ὁ τοῦ Κρόνου υἱὸς ἐν τῇ Κρήτῃ κεῖται.

104 Περὶ Φαύνου βασιλέως τῆς Ἰταλίας, ὅστις πρῶτος ἐφεῦρε τὸν χρυσόν.

D Μετὰ τὴν τελευτὴν τοῦ αὐτοῦ Πίκου τοῦ καὶ Διὸς ἐβασίλευσεν ὁ αὐτοῦ υἱὸς Φαῦνος ὁ καὶ Ἑρμῆς τῆς Ἰταλίας ἔτη τριάκοντα πέντε, ὃς ἦν ἀνὴρ πανοῦργος καὶ μαθηματικός, ὅστις ἐφεῦρεν τὸ μέταλλον τοῦ χρυσίου ἐν τῇ δύσει πρῶτος καὶ τὸ χωνεύειν. γνοὺς δὲ ὅτι διαφθονοῦνται αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἀπὸ τῶν γυναικῶν ὧν ἔσχεν Πῖκος ὁ καὶ Ζεὺς ὁ αὐτοῦ πατήρ· ἠβούλοντο γὰρ αὐτὸν φονεῦσαι, ὡς ὄντες πολλοί, περί που ἑβδομήκοντα·

3. τεθεῖναι PV. 4. νήσῳ — Κρήτῃ om. P. 7. Διόδωρος] III. 60. 9. τοῦ περὶ] περὶ P. 13. Πίκου τοῦ] τοῦ Πήκου P. 14. υἱὸς αὐτοῦ P.

De corpore Pici.

Cum moriturus esset Picus, seu Jupiter, corpus suum in Creta insula sepeliri jussit, ubi in illiüs nomen condito a filiis templo, in eo depositum jacet: ubi ad hoc usque tempus sepulcrum illius visitur, cum hacce inscriptione:

Hic jacet mortuus Picus, qui et Jupiter, quem Jovem etiam vocant.

De quo conscripsit Diodorus doctissimus Chronographus, qui in contextu libri sui de Diis, haec ait: *Jupiter Saturni filius in Creta jacet.*

De Fauno Rege Italiae, qui primus aurum reperit.

Extincto eodem Pico, qui et Jupiter dictus est, regnavit in Italia filius ejus Faunus, qui et Mercurius appellatus, annos xxxv. Erat ille vir callidus et Mathematicus, qui primus in Occidente auri metallum, ejusque conflandi rationem, adinvenit. Is cum intelligeret se magna apud fratres suos, quos Picus, seu Jupiter, pater suus ex variis uxoribus susceperat, invidia flagrare, ejusque occidendi consilium iniisse, ut qui essent haud pauci praeterpropter LXX. (Jupiter quippe cum multis feminis habita consuetudine, multos procrearat liberos) convasato ingenti

μετὰ γὰρ πολλῶν συμμιγνύμενος γυναικῶν ἐτεκνοποίησεν ὁ Ζεύς· πολὺ χρυσίον ἐγκολπωσάμενος εἰς ὑπερβολὴν ἀνεχώρησεν, καὶ ἀπέρχεται εἰς τὴν Αἴγυπτον πρὸς τὴν φυλὴν τοῦ Χὰμ υἱοῦ Νῶε, P 45 οἵτινες ἐδέξαντο αὐτὸν ἐν τιμῇ. καὶ διέτριβεν ἐκεῖ ὑπερηφανῶν πάντας, καὶ φορῶν στολὴν χρυσῆν ἐφιλοσόφει παρὰ τοῖς Αἰγυπτίοις, λέγων αὐτοῖς μαντείας μελλόντων· ἦν γὰρ φύσει σφόδρα λογικός· καὶ προσεκύνουν αὐτὸν λέγοντες θεὸν Ἑρμῆν, ὡς λέγοντα τὰ μέλλοντα καὶ διακονοῦντα αὐτοῖς ἐκ τοῦ θεοῦ τῶν μελλόντων τὴν ἀπόκρισιν καὶ παρέχοντα αὐτοῖς χρήματα, ὅντινα καὶ πλουτοδότην ἐκάλουν, ὡς τὸν χρυσὸν θεὸν νομίζοντες. ὅτε οὖν ὁ αὐτὸς Ἑρμῆς εἰς τὴν Αἴγυπτον ἦλθεν, ἐβασίλευσεν τῶν B Αἰγυπτίων τότε ἐκ τοῦ γένους τοῦ Χὰμ ὁ Μεστραΐμ· οὕτινος τελευτήσαντος ἐποίησαν οἱ Αἰγύπτιοι τὸν Ἑρμῆν βασιλέα· καὶ ἐβασίλευσε τῶν Αἰγυπτίων ἔτη λθ' ἐν ὑπερηφανίᾳ. καὶ μετ' αὐτὸν ἐβασίλευσε τῶν Αἰγυπτίων ὁ Ἥφαιστος ἡμέρας ͵αχπ', ὡς γενέσθαι ἔτη δ', μῆνας ἑπτὰ τρίτον. οὐκ ᾔδεισαν γὰρ τότε ἐνιαυτοὺς μετρεῖν οἱ Αἰγύπτιοι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτοὺς ἔλεγον. τὸν δὲ αὐτὸν Ἥφαιστον θεὸν ἐκάλουν· ἦν γὰρ πολεμιστὴς καὶ μυστικός. ὅστις ἐξελθὼν εἰς πόλεμον συνέπεσεν σὺν τῷ ἵππῳ αὐτοῦ, καὶ πληγεὶς ἔμενε χωλεύων. ὁ δὲ αὐτὸς

5. τὴν χρυσῆν στολὴν P. 10. ὀνομάζοντες P. 11. ὁ om. P. ibid. καὶ ἐβασίλευσεν P. 12. Μεστρέμ PV. 16. ἑπτὰ τρίτον] ζ', ἡμέρας γ' P cum R: sed Raderus mutatam ab se scripturam fatetur in margine: „*ita legendus hic locus. annum definit ut nos diebus 365. pro mense dies 31 hic putandi.*“ Quae sane computatio obtinet p. seq. v. 14. Sed hic menses intelligendi triginta dierum 7⅓. Dictum autem hoc ut εἰκοσιεννέα τέταρτον ἡμερῶν schol. Platon. p. 454. B. 19. ἐλθὼν P.

admodum auri pondere, in Aegyptum ad tribum Cham filii Noe se contulit, a qua perhonorifice exceptus est. Ille cum ibi degeret, pro nihilo caeteris habitis, aurea indutus veste, philosophabatur apud Aegyptios, quibus ventura praedicebat: a natura enim acri admodum valebat ingenio: unde ab iis adorabatur, cum illum esse dicerent Deum Mercurium, ut qui futura praediceret, ipsisque rerum venturarum a Deo accepta responsa subministraret, opesque praeberet: quem ideo Divitiarum largitorem vocitabant, cum aurum Deum appellarent. Cum porro idem Mercurius in Aegyptum venit, apud Aegyptios regnabat Mestrem, ex genere Cham: quo fatis functo, Mercurium Regem renuntiarunt Aegyptii, quibus ille annos XXXIX. magnifice imperavit. Post hunc regnavit apud Aegyptios Vulcanus dies MDCLXXX. qui annos IV. conficiunt, menses VII. et dies III. Neque enim tum annos metiri norant Aegyptii, sed dierum cursus annos dicebant. Vulcanum porro Deum vocabant: erat enim vir bellicosus, quique arcana quaevis intelligeret, qui dum in praelio pugnat, cum equo lapsus, accepto vulnere, exinde claudicavit. Idem

C Ἥφαιστος νόμον ἔθηκεν τὰς Αἰγυπτίας γυναῖκας μονανδρεῖν καὶ σωφρόνως διάγειν, τὰς δὲ ἐπὶ μοιχείᾳ εὑρισκομένας τιμωρεῖσθαι· καὶ ηὐχαρίστησαν αὐτῷ οἱ Αἰγύπτιοι, διότι πρῶτον νόμον σωφροσύνης τοῦτον ἐδέξαντο.

R 106 *Περὶ σιδήρου, τίς πρῶτος ἐφεῦρεν.*

Ὁ δὲ αὐτὸς Ἥφαιστος ἀπὸ μυστικῆς τινος εὐχῆς τὴν ὀξυλάβην ἐδέξατο ἐκ τοῦ ἀέρος εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα. ὅθεν καὶ ἐπικρατὴς σιδήρου ηὑρέθη εἰς τοὺς πολέμους. ἀπεθέωσαν οὖν αὐτὸν ὡς σωφροσύνην νομοθετήσαντα καὶ τροφὴν
D ἀνθρώποις διὰ κατασκευῆς ὅπλων εὑρηκότα καὶ ἐν τοῖς πολέμοις δύναμιν καὶ σωτηρίαν ποιήσαντα· πρὸ γὰρ αὐτοῦ ῥοπάλοις καὶ λίθοις ἐπολέμουν. μετὰ δὲ τὴν τελευτὴν Ἡφαίστου ἐβασίλευσεν Αἰγυπτίων ὁ υἱὸς αὐτοῦ ὀνόματι Ἥλιος ἡμέρας δυοζ', ὡς εἶναι ἔτη ιβ', μῆνας γ', ἡμέρας δ'. οὐ γὰρ ᾔδεισαν οἱ Αἰγύπτιοι τότε ἢ ἄλλοι τινὲς ἀριθμὸν ἐν τῷ ψηφίζειν, ἀλλὰ τὰς περιόδους τῶν ἡμερῶν εἰς ἔτη ἐψήφιζον. οἱ γὰρ τῶν ιβ' μηνῶν ἀριθμοὶ
P 46 μετὰ ταῦτα ἐπενοήθησαν, ἐξότε ἐνομίσθη ὑποτελεῖς εἶναι τοὺς ἀνθρώπους τοῖς βασιλεῦσιν. ὁ δὲ αὐτὸς Ἥλιος βασιλεὺς ὁ υἱὸς Ἡφαίστου ἦν φιλόσοφος δυνατός, ὅστις ἐδιδάχθη παρά τινος ὡς

2. μοιχείαν P. 12. τὴν om. P sola. 15. ἄλλον τινὰ P. 17. ἐνομίσθη P, ὀνομάσθη RV. 19. τοῦ Ἡφαίστου P.

vero Vulcanus lege sanxit, uti Aegyptiae feminae uno contentae viro caste vitam agerent: quae vero deprehenderentur in stupro, punirentur. Unde Vulcano gratias egere Aegyptii, quod tum primum continentiae legem accepissent.

De ferro, et quis primus illud invenerit.

Idem porro Vulcanus edita quadam mystica ac secreta precatione, forcipem ex aere accepit, quo ex ferro arma posset conflare: unde et ferri ad belli usus repertor habitus est. Hunc ergo in Deos retulere, tum propter latam de continentia legem, tum etiam quod armorum fabrica, victus parandi rationis, in bellis autem roboris salutisque hominibus auctor extiterit: ante illum quippe clavis et saxis pugnabant. Extincto Vulcano, Aegyptiorum regnum excepit Sol, illius filius, illudque rexit dies v. MDCLXXVII. qui annos conficiunt XII. menses III. dies IV. Alius enim omnis numerandi modus tunc temporis ab Aegyptiis ignorabatur, cum singulas dierum periodos pro tot annis putarent. Duodecim enim mensium numeri tum primum deinde inventi, ex quo decretum est homines Regibus fieri vectigales. Enimvero Rex Sol, Vulcani filius, insignis admodum extitit Philosophus, qui cum ex aliquo esse quandam feminam comperisset, ex iis quae opum copia ac dignitate apud Aegy-

γυνή τις Αἰγυπτία τῶν ἐν εὐπορίᾳ καὶ ἀξίᾳ οὐσῶν παρ' αὐτοῖς V 38
ἐρῶσά τινος ἐμοιχεύετο ὑπ' αὐτοῦ. καὶ ἀκούσας ὁ Ἥλιος ἐζή-
τησεν αὐτὴν πιάσαι διὰ τὴν τοῦ πατρὸς αὐτοῦ Ἡφαίστου νομο-
θεσίαν, ἵνα μὴ λυθῇ. καὶ λαβὼν στρατιώτας ἐκ τοῦ ἰδίου στρα-
τοῦ, μαθὼν τὸν καιρὸν τῆς μοιχείας αὐτῆς ὅτι γίνεσθαι ἔμελλεν
νυκτός, ἐπιῤῥίψας αὐτῇ, τοῦ ἀνδρὸς αὐτῆς μὴ ὄντος αὐτόθι, εὗ-
ρεν αὐτὴν μετ' ἄλλου καθεύδουσαν τοῦ ἐρωμένου παρ' αὐτῆς. B
ἥντινα εὐθέως καταγαγὼν ἐπόμπευσεν ἐν πάσῃ τῇ χώρᾳ τῆς Αἰ-
γύπτου, τιμωρησάμενος αὐτήν. καὶ γέγονε σωφροσύνη μεγάλη
ἐν τῇ γῇ τῆς Αἰγύπτου. κἀκεῖνον δὲ τὸν μοιχὸν ἀνεῖλεν, καὶ ηὐ-
χαριστήθη· περὶ οὗ ἱστορεῖ ποιητικῶς Ὅμηρος ποιητὴς ὡς ὁ
Ἥλιος, φησίν, ἤλεγξεν τὴν Ἀφροδίτην συμμιγνυμένην νυκτὸς
Ἄρει. Ἀφροδίτην δὲ ἐκάλεσεν τὴν ἐπιθυμίαν τῆς πορνείας ἀπὸ
τοῦ Ἡλίου βασιλέως ἐλεγχθεῖσαν· τὸ δὲ ἀληθές, ὡς προγέγρα-
πται, Παλαίφατος ὁ σοφώτατος συνεγράψατο.

Μετὰ δὲ τὴν τελευτὴν Ἡλίου τοῦ βασιλέως υἱοῦ Ἡφαίστου
ἐβασίλευσεν Αἰγυπτίων Σῶσις· καὶ μετὰ τὴν βασιλείαν αὐτοῦ C
ἐβασίλευσεν Ὄσιρις· καὶ μετὰ Ὄσιριν ἐβασίλευσεν Ὧρος· καὶ
μετὰ Ὧρον ἐβασίλευσεν Θοῦλις, ὅστις παρέλαβεν μετὰ δυνάμεώς R 108
τινος πᾶσαν τὴν γῆν ἕως τοῦ Ὠκεανοῦ· καὶ ἐν τῷ ὑποστρέφειν
ἦλθεν ἐπὶ τὴν Ἀφρικὴν χώραν εἰς τὸ μαντεῖον ἐν ὑπερηφανίᾳ,
καὶ θυσιάσας ἐπυνθάνετο λέγων, Φράσον μοι, πυρισθενές, ἀψευ-
δές, μάκαρ, ὁ τὸν αἰθέριον μετεγκλίνων δρόμον, τίς πρὸ τῆς

servis ejus, ut det gladium in manus ejus, ut occidat nos. Conversus est autem Moyses ad Deum, et dixit: *Domine, quare afflixisti populum hunc? et cur misisti me? Et ex quo ingressus sum ad Pharaonem, ut loquerer in nomine tuo, afflixit populum hunc, et non liberasti populum tuum.* Et dixit Dominus ad Moysen: *Jam videbis quae faciam Pharaoni. In manu enim valida, et in brachio excelso ejiciet eos de terra sua.* Locutus est autem Dominus ad Moysen, et dixit ad eum: *Ego Dominus. Et apparui ad Abraham, et Isaac, et Jacob, Deus existens eorum. Et nomen meum Dominus non manifestavi eis. Et constitui foedus meum cum eis, ut darem eis terram Chananaeorum, terram quam habitaverunt in qua habitaverunt in ea. Et ego audivi gemitum filiorum Israel, quae Aegyptii in servitutem redegerunt eos, et recordatus sum foederis mei. Vade, loquere filiis Israel, dicens: Ego Dominus, et educam vos a servitute Aegyptiorum: et liberabo vos de potentia eorum, et redimam vos in brachio excelso et judicio magno. Et accipiam vos mihi in populum, et ero vester Deus: et cognoscetis, quod ego Dominus Deus vester, educens vos de potentia Aegyptiorum. Et adducam vos in terram, in quam ex-*

ἄξω ὑμᾶς εἰς τὴν γῆν εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι αὐ-
C *τὴν τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ. καὶ δώσω αὐτὴν ὑμῖν ἐν κλήρῳ ἐγὼ κύριος.*

Ἐλάλησε δὲ Μωϋσῆς οὕτω τοῖς υἱοῖς Ἰσραήλ, καὶ οὐκ εἰσήκουσαν Μωϋσῇ ἀπὸ τῆς ὀλιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν λέγων, Εἴσελθε, λάλησον πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. ἐλάλησε δὲ Μωϋσῆς ἐναντίον κυρίου λέγων, Ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰσήκουσάν μου· πῶς εἰσακούσεταί μου Φαραώ; ἐγὼ δὲ ἄλογός εἰμι. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

D *Καὶ μετ' ὀλίγα. Μωϋσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ ὀγδοήκοντα τριῶν ἦν ἐτῶν, ἡνίκα ἐλάλησαν πρὸς Φαραώ. καὶ εἶπε κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέγων, Καὶ ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ λέγων, Δότε ἡμῖν σημεῖον ἢ τέρας. καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν ῥάβδον, καὶ ῥῖψον*
R 164 *αὐτὴν ἐπὶ τὴν γῆν ἐναντίον Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ ἔσται δράκων. εἰσῆλθεν δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἐναντίον*

1. *εἰς ἣν*] *ἐφ' ἣν* P. 2. *καὶ δώσω — κλήρῳ* om. V. 4. *οὕτως* P. 8. *ἔναντι* P. 9. *λέγων* et *οἱ* om. P. ib. *πῶς*] *καὶ πῶς* P. 10. *Φαραώ* ante *εἰσακούσεται* ponit P. *Φαραῶ* saepius V. ib. *ἄλογος*. Ἀ. *ἄλογος χείλεσιν*. Σ. *οὐκ εἰμὶ καθαρὸς τῷ φθέγματι*. Θ. *ἀπερίτμητος τοῖς χείλεσιν*. LXX. m. P. 12. *ἵνα ἐξαγάγῃ ὥστε* P. 15. *ὁ ἀδελφὸς αὐτοῦ* om. P. ib. *ἦν* om. P. 17. *λαλήσει* PV. 19. *ἐπὶ τὴν γῆν* om. P. ib. *καὶ ἐναντίον τῶν* P. 20. *εἰσῆλθε Μωϋσῆς* P.

tendi manum meam, ut darem eam Abraham, Isaac et Jacob. Et dabo eam vobis in sorte: ego Dominus.

Locutus est autem Moyses sic filiis Israel: et non audiverunt Moysen prae pusillanimitate, et prae operibus duris. Ait autem Dominus ad Moysen, dicens: *Ingredere, loquere ad Pharaonem Regem Aegypti, ut dimittat filios Israel de terra sua.* Locutus est autem Moyses coram Domino dicens: *Ecce filii Israel non audiverunt me, et quomodo Pharao audiet me? ego enim balbus sum.* Dixit autem Dominus ad Moysen et Aaron: et mandavit eis ad Pharaonem Regem Aegypti: ut educat filios Israel de terra Aegypti. Et post pauca.

Moyses autem erat annorum octoginta, Aaron autem octoginta trium annorum, quando locuti sunt ad Pharaonem. Et ait Dominus ad Moysen et Aaron, dicens: *Et si loquitur ad vos Pharao dicens: Date nobis signum aut portentum. Et dices Aaron fratri tuo: Accipe virgam, et projice eam coram Pharaone, et coram servis ejus, et erit draco.* Ingres-

Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ ἐποίησαν οὕτως, καθάπερ ἐνετείλατο αὐτοῖς κύριος, καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δράκων. συνεκάλεσε δὲ Φαραὼ τοὺς σοφιστὰς καὶ τοὺς φαρμακούς, καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως, καὶ ἔῤῥιψεν ἕκαστος τὴν P 70 V 57 *ῥάβδον αὐτοῦ, καὶ ἐγένοντο δράκοντες. καὶ κατέπιεν ἡ ῥάβδος Ἀαρὼν τὰς ἐκείνων ῥάβδους. καὶ κατίσχυσεν ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν αὐτοῖς κύριος. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Βεβάρυνται ἡ καρδία Φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν. βάδισον πρὸς Φαραὼ τὸ πρωΐ, ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ. καὶ σὺ ἔσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, καὶ ἐρεῖς πρὸς αὐτόν, Κύριος ὁ θεὸς τῶν Ἑβραίων ἀπέσταλκέ με πρὸς σὲ λέγων, Ἀπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι ἐν τῇ ἐρήμῳ, καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου. τάδε λέγει κύριος, Ἐν τούτῳ γνώσει* B *ὅτι ἐγὼ κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα, καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσι, καὶ ἐποζέσει ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Λάβε τὴν*

1. καὶ τῶν θ. αὐτοῦ om. V. 3. αὐτοῦ prius om. P. 6. ἔῤῥιψαν P. 10. βεβάρυται P. 11. τὸν Φαραὼ P. *ib.* τὸ] τῷ P. 12. σὺ ἔσῃ] στήσῃ P. 13. ταύτην om. P. 14. λήψει V. 15. ἐξαπόστειλον P. 20. τελευτήσωσι V. *ibid.* ὑποζέσει P.

sus est autem Moyses et Aaron coram Pharaone et servis ejus, et fecerunt sic, sicut praecepit eis Dominus, et projecit Aaron virgam coram Pharaone, et coram servis ejus, et facta est draco. Convocavit autem Pharao sapientes et veneficos, et fecerunt, et incantatores Aegyptiorum incantationibus suis similiter. Et projecerunt unusquisque virgam suam, et factae sunt dracones: et devoravit virga Aaron illorum virgas. Et induratum est cor Pharaonis, et non audivit illos, sicut locutus est eis Dominus. Dixit autem Dominus ad Moysen: *Aggravatum est cor Pharaonis, ut non dimittat populum. Vade ad Pharaonem mane, ecce ipse egreditur ad aquam, et stabis obvians ei super labium fluminis; et virgam conversam in colubrum accipies in manu tua, et dices ad eum: Dominus Deus Hebraeorum misit me ad te dicens: Dimitte populum meum, et serviant mihi in deserto, et ecce non audivisti usque huc. Haec dicit Dominus: Ecce ego percutiam virga, quae in manu mea, in aquam quae in fluvio, et vertetur in sanguinem. Et pisces qui in flumine, morientur: et fervebit fluvius: et non poterunt Aegyptii bibere aquam a flumine.* Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo; accipe virgam*

ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν, καὶ ἔσται αἷμα. καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτῳ, ἔν τε τοῖς ξύλοις C καὶ ἐν τοῖς λίθοις. καὶ ἐποίησαν οὕτως Μωϋσῆς καὶ Ἀαρών, καθάπερ ἐνετείλατο κύριος αὐτοῖς. καὶ ἐπάρας Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν ποταμῷ εἰς αἷμα. καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτῳ. R 166 ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν κύριος. ἐπιστραφεὶς δὲ Φαραὼ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ οὐκ ἐπέστησε τὸν νοῦν D αὐτοῦ οὐδὲ ἐπὶ τοῦτο. ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ. καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι κύριον τὸν ποταμόν.

Εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἴσελθε πρὸς Φαραώ, καὶ ἐρεῖς πρὸς αὐτόν, Τάδε λέγει κύριος, Ἐξαπόστειλον τὸν λαόν

2. διορυχὰς V. 4. τῇ γῇ Αἰγύπτου P. 5. ἐν om. P. 6. αὐτοῖς κύριος P. 11. ἐκ] ἀπὸ P. *ibid.* πάσῃ τῇ γῇ Αἰγυπτίων P, πάσῃ τῇ γῇ Αἰγύπτου R. 15. εἰσῆλθεν — αὐτοῦ cum lacuna om. V.

tuam, et extende manum tuam super aquas Aegypti, et super fluvios eorum, et super rivos eorum, et super paludes eorum, et super omnem aquam congregatam: et erit sanguis. Et fuit sanguis in omni terra Aegypti, inque lignis et lapidibus. Et fecerunt sic Moyses et Aaron, sicut praeceperat eis Dominus. Et elevans Aaron virgam suam, percussit aquam in flumine coram Pharaone, et coram servis ejus, et conversa est tota aqua, quae in flumine, in sanguinem. Et pisces, qui in flumine, mortui sunt: et computruit flumen, et non potuerunt Aegyptii bibere aquam a flumine, et erat sanguis in omni terra Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis. Et induratum est cor Pharaonis, et non audivit eos, sicut dixit Dominus. Conversus autem Pharao ingressus est in domum suam: et non apposuit mentem suam neque in hoc. Foderunt autem omnes Aegyptii per circuitum fluminis, ut biberent aquam; et non poterant bibere aquam a flumine. Et impleti sunt septem dies postquam percussit Dominus flumen.

Dixit autem Dominus ad Moysen: *Ingredere ad Pharaonem, et dices ad eum: Haec dicit Dominus, Dimitte populum meum, ut mihi ser-*

μου, ἵνα μοι λατρεύσωσιν. εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις, καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου καὶ εἰς τὰ ταμεῖα τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου P 71
καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν τοῖς φυράμασί σου καὶ ἐν τοῖς κλιβάνοις σου, καὶ ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς θεράποντάς σου ἀναβήσονται οἱ βάτραχοι. εἶπε δὲ κύριος πρὸς Μωϋσῆν, Εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, Ἔκτεινον τῇ χειρί σου τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους. καὶ ἐξέτεινεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνήγαγε τοὺς βατράχους, καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου. ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ τὴν γῆν Αἰγύπτου. καὶ
ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρών, καὶ εἶπεν, Εὔξασθε περὶ V 58 B
ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ τὸν λαόν, καὶ θύσουσι κυρίῳ. εἶπε δὲ Μωϋσῆς πρὸς Φαραώ, Τάξαι πρός με πότε εὔξωμαι περί σου καὶ περὶ τῶν θεραπόντων σου καὶ περὶ τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν ποταμῷ ὑπολειφθήσονται. ὁ δὲ εἶπεν, Εἰς αὔριον. εἶπεν οὖν, Ὡς εἴρηκας, ἵνα εἰδῇς ὅτι οὐκ

1. βούλει m. PR, βούλη PV. 2. ἐγὼ om. P. 3. τοὺς βατράχους P. 9. σου om. Exod. VIII. 5. 10. σου om. P. *ibid.* διορυχὰς V. 13. πᾶσαν τὴν P. 15. καὶ ἐκάλεσε δὲ V. 16. εὔξασθε πρὸς τὸν κύριον P. 18. τοῦ λαοῦ μου P. *ib.* θύσωσι V. 22. ἐκ] ἀπὸ P.

viant. *Si autem non volueris tu dimittere, ecce ego percutio omnes terminos tuos ranis. Et eructabit fluvius ranas, et ascendentes ingredientur in domos tuas, et in penetralia cubiculorum tuorum, et in lectos tuos, et in massis tuis, et in furnis tuis, et in te, et in populum tuum, et in servos tuos ascendent ranae.* Dixit autem Dominus ad Moysen: *Dic Aaron fratri tuo: et extende manu tua virgam super fluvios, et super rivos, et super paludes, et educ ranas.* Et extendit Aaron manum super aquas Aegypti, et eduxit ranas: et ascendit rana, et operuit totam terram Aegypti. Fecerunt autem similiter, et incantatores Aegyptiorum incantationibus suis, et eduxerunt ranas super terram Aegypti. Et vocavit Pharao Moysen et Aaron, et dixit: *Orate ad Dominum, et auferat ranas a me, et a populo meo, et dimittam populum, et sacrificabunt Domino.* Dixit autem Moyses ad Pharaonem: *Constitue ad me, quando orabo pro te, et pro servis tuis, et pro populo tuo, et ad delendum ranas a te, et a populo tuo, et a domibus vestris: veruntamen in fluvio remanebunt.* Ille autem dixit: *Cras.* Dixit igitur: *Ut dixisti, ut scias quia non est*

ἔστιν ἄλλος πλὴν κυρίου. καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

C R 168 Ἐξῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ. καὶ ἀνεβόησε Μωϋσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο Φαραώ. ἐποίησε δὲ κύριος, καθάπερ εἶπε Μωϋσῆς, καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν, καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας, καὶ ἐπώζεσεν ἡ γῆ. ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.

Εἶτα ἐπῆλθον τοῖς Αἰγυπτίοις καὶ ἄλλαι πληγαί.

γʹ. Σκνίψ, ὡς ἀπροβλέπτοις καὶ ἀνηκόοις καὶ ἀδιακρίτοις καὶ ἀνομολόγοις.

D δʹ. Κυνόμυια, ὡς ἀχρώμοις καὶ ἀναισθήτοις.

εʹ. Θάνατος πάντων τῶν τετραπόδων διὰ τὴν πρὸς αὐτὰ πεποίθησιν.

ϛʹ. Ἕλκη, διὰ τὸ αὐχεῖν ἐν εὐρωστίᾳ.

ζʹ. Χάλαζα καὶ πῦρ, διὰ τὸ αὐχεῖν ὡς ἐν εὐθηνίᾳ ἀγαθῇ.

ηʹ. Ἀκρίς. ἀβασίλευτόν ἐστιν ἀκρίς, ὡς οὐ κυριεῦον. τὰ

2. καὶ ἐκ τῶν ἐπαύλεων quae om. P, supra v. 22. post ὑμῶν addit V, annectens καὶ ἀπὸ τῶν θ. — λαοῦ σου. Ego posui ubi Exod. VIII. 11. 9. θημωνίας] Al. θειμωνίας. Ἀ. Σ. κόρους m. P. 10. ἀνάψυξις] Θ. ἄνεσις m. P. 19. εὐρωστείᾳ P. 21. κυριεύοι PV.

alius praeter Dominum. Et auferentur ranae a te, et a domibus vestris, et a servis tuis, et a populo tuo: verumtamen in fluvio relinquentur.

Egressus est autem Moyses et Aaron a Pharaone: et exclamavit Moyses ad Dominum pro finitione ranarum, sicut constituit Pharaoni. Fecit autem Dominus sicut dixit Moyses, et mortuae sunt ranae ex domibus, et ex habitationibus, et ex agris: et congregaverunt illas cumulos, cumulos, et computruit terra. Videns autem Pharao, quod facta est requies, aggravatum est cor ejus: et non audivit illos, sicut locutus est Dominus.

Aegyptios invasere deinde Plagae aliae.

III. Scinips, velut inconsultos, inobedientes, qui verum et falsum non discernerent, et impia meditarentur.

IV. Musca canina, velut impudentes ac stupidos.

V. Mors omnium quadrupedum, quod in iis spem ponerent.

VI. Ulcera, quod dum essent sani, gloriarentur.

VII. Grando, et ignis, quod ex prospera fortuna superbirent.

VIII. Locusta: a Rege non gubernatur locusta, uti nec dominatur.

γὰρ ἄλλα κυριεύουσιν ἐκστρατεύματι, ἀφ' ἑνὸς κελεύσματος εὐτάκτως πρὸς κάκωσιν ἐχθρῶν ἀποστελλόμενα.

θ'. Σκότος.

ι'. Θάνατος πρωτοτόκων, διὰ τὸ αἴχεῖν ἐν παραμονῇ ζωῆς P 72 καὶ ἰσχύι καὶ δόξῃ.

Πληγαὶ δέκα.

Γ' διὰ τοῦ Ἀαρὼν ἐν τῇ ῥάβδῳ, αἷμα, βάτραχος, σκνίψ. καὶ β' διὰ ἑαυτοῦ ὁ θεός, κυνόμυιαν, θάνατον, ἕλκη. καὶ μίαν διὰ χειρὸς Μωϋσέως, συνυπουργοῦντος αὐτῷ τοῦ Ἀαρών.

Καὶ ἄλλαι τρεῖς διὰ Μωϋσέως μόνου· μία διὰ τῆς ῥάβδου, καὶ μία διὰ τῆς χειρὸς αὐτοῦ, χάλαζα, ἀκρίς, σκότος.

Καὶ μίαν, τὴν τῶν πρωτοτόκων, δι' ἑαυτοῦ ὁ θεός. B

Τούτῳ τῷ ͵γωλη' ἔτει γενέσεως κόσμου ἀρχὴν εἰληφότι ἀπὸ κα' τοῦ μαρτίου μηνὸς καὶ δευτέρῳ τῆς ἐξόδου εἶπεν ὁ κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτῳ λέγων, Οὗτος ὁ μὴν ἀρχὴ μηνῶν πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ· λά- R 170 λησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων, Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, πρόβατον κατ' οἰκίαν. ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν οἱ ἐν τῇ οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, συλλήψεται μεθ'

1. καλεύματος P. 10. τῆς om. P. 13. αβ' ἐξόδου. αα' τῆς ἐξόδου m. P. 15. Αἰγύπτου P. 16. ὑμῖν] ἐν ὑμῖν P. 18. ἕκαστος om. P.

Caetera enim animalia velut in castris aliis imperant, cum unius mandato composite ad hostium exitium mittuntur.

IX. Tenebrae.

X. Mors primogenitorum, quod diuturnioris vitae spe, potentia pariter et gloria insolescerent.

Decem Plagae.

Tres per Aaronis virgam: Sanguis, rana, scinips.

Tres Deus per seipsum: Cynomyiam, [mortem] ulcera.

Et una per manum Moysi, adjuvante illum Aaron.

Et aliae tres per solum Moysen: una per virgam, una per manum ipsius: grando, locusta, tenebrae.

Una Deus per se: primogenitorum caedem.

Hoc anno a mundi conditione III. MDCCCXXXVII. qui a XXI. Martii mensis initium sumit, et secundus est Exodi, dixit Dominus ad Moysen et Aaron in terra Aegypti: *Mensis hic principium mensium, primus est vobis in mensibus anni. Loquere ad omnem congregationem filiorum Israel, dicens: Decima mensis hujus, accipiant unusquisque agnum per domos familiarum, agnum per domum. Si autem pauci fuerint, qui in domo, ut non sufficientes sint ad agnum, assumet secum vicinum proxi-*

ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ, κατὰ ἀριθμὸν ψυχῶν ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμηθήσεται εἰς πρόβατον. πρό-
C V 59 βατον τέλειον ἄρσεν ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀμνῶν καὶ τῶν ἐρίφων λήψεσθε. καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως ιδʹ τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν. καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴκοις ἐν οἷς ἂν φάγωσιν αὐτὰ ἐν αὐτοῖς. καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. καὶ οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. οὐκ ἀπο-
D λείψεται ἀπ' αὐτοῦ εἰς τὸ πρωί, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωὶ ἐν πυρὶ κατακαύσετε, οὕτω δὲ φάγεσθε αὐτό. αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς. πάσχα ἐστὶν κυρίῳ. καὶ ἐλεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἐν πᾶσι θεοῖς Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν ἐγὼ κύριος. καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ. καὶ ὄψομαι τὸ αἷμα, καὶ σκε-
P 73 πάσω ὑμᾶς· καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῆναι, ὅταν

2. τὸ] τῷ P. ibid. συναριθμήσασθαι R, συναριθμήσεται P. 3. ἄμωμον post ἄρσεν contra codicem addidit R. 5. αὐτὸ] αὐτῷ V. 8. αὐτὸ P. 10. ἢ] ἡ V, om. P sola. 11. ὑπολείψεται V, ἀπολείψετε R. 13. ἀπὸ τοῦ R. ib. ἕως] εἰς τὸ P. 21. ἔσται RV.

mum suum: juxta numerum animarum unusquisque quod sufficit sibi connumerabitur in agnum. Agnus perfectus, masculus, anniculus erit vobis: ab agnis et haedis accipietis. Et erit vobis servatum usque ad quartam et decimam mensis hujus. Et immolabunt cum omnis multitudo congregationis filiorum Israel ad vesperam. Et accipient de sanguine, et ponent in duobus postibus, et super limen, in domibus in quibus comederint illos in ipsis. Et comedent carnes hac nocte assas igne, et azyma cum herbis amaris comedent. Non comedetis ab eis crudum, neque coctum in aqua, sed assa igne, caput cum pedibus, et intestinis. Non relinquetur ex ipsis usque ad mane: et os non confringetis ab eo. At relicta ex eo usque ad mane, in igne comburetis. Sic autem comedetis illum. Lumbi vestri accincti, et calceamenta in pedibus vestris, et baculi vestri in manibus vestris, et comedetis eum cum festinatione: Pascha est Domini. Et transibo in terra Aegypti in hac nocte et percutiam omne primogenitum in terra Aegypti ab homine usque ad pecus: et in omnibus diis Aegyptiorum faciam ultionem, ego Dominus. Et erit sanguis vobis in signo domibus, in quibus vos eritis illic: et videbo sanguinem, et protegam vos: et non erit in vobis plaga ut deleamini, quando percussero in terra Ae-

παίω ἐν γῇ Αἰγύπτῳ. καὶ ἔσται ἡ ἡμέρα αὕτη ὑμῖν μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν κυρίῳ εἰς τὰς γενεὰς ὑμῶν. νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς πρώτης ἡμέρας ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἑβδόμης. καὶ ἡ ἡμέρα ἡ πρώτη κεκλήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐ- R 172
ταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ· τοῦτο μόνον ποιηθήσεται ὑμῖν, καὶ φυλάξεσθε τὴν ἐντολὴν ταύτην· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου. καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον. ἐναρχο- B
μένου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἀφ᾽ ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. ἑπτὰ ἡμέρας ζυμὴ οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυμωτόν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς υἱῶν Ἰσραὴλ ἔν τε τοῖς γειώραις καὶ αὐτόχθοσι τῆς γῆς. πᾶν ζυμωτὸν οὐκ ἔδεσθε, ἐν παντὶ κατοικητηρίῳ ὑμῶν ἔδεσθε ἄζυμα. καὶ μετὰ βραχέα.

Ἐὰν δὲ εἰσέλθητε εἰς τὴν γῆν ἣν ἂν δῷ κύριος ὑμῖν, καθότι ἐλάλησεν, φυλάξεσθε τὴν λατρείαν ταύτην. καὶ ἔσται

2. *ἑορτάσατε* V. 3. *ἄζυμα φάγεσθε, ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης* in margine ponit P, omissis quae eorum loco ex V recepi. 8. *ποιήσατε* P. 12. *ἐναρχομένῃ* P. 13. *τεσσαρεσκ.* P. ibid. *ἀφ᾽*] *ἀπ᾽* V. 15. *οὐχ*] *οὐκ* V.

gypti. Et erit dies haec vobis in memoriale, et celebrabitis eam festum Domino in generationes vestras. Legitimum sempiternum celebrate eam septem dies. Azyma comedetis: ab autem die prima expelletis fermentum ex domibus vestris. Omnis qui comederit fermentum, peribit anima illa ex Israel: a die prima, usque ad diem septimam. Et dies prima vocabitur sancta, et dies septima vocata sancta erit vobis. Omne opus servile non facietis in eis, praeter quae fient omni animae, hoc solum fiet vobis. Et custodietis mandatum hoc. In enim hac die educam exercitum vestrum ex terra Aegypti, et facietis diem hanc in generationes vestras legitimum sempiternum. Incipiente quarta decima die mensis primi, a vespera comedetis asyma, usque ad diem unam et vigesimam mensis, usque ad vesperam. Septem dies fermentum non invenietur in domibus vestris: omnis qui comederit fermentatum, peribit anima illa ex congregatione Israel, inque advenis, et in indigenis terrae. Omne fermentatum non comedetis: in omni habitaculo vestro comedetis asyma. Et post pauca.

Si autem ingressi fueritis in terram, quam Dominus dederit vobis, sicut locutus est, servabitis cultum hunc. Et erit. Si dixerint ad vos

C *ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν, Τίς ἡ λατρεία αὕτη; καὶ
ἐρεῖτε αὐτοῖς, Θυσία τὸ πάσχα τοῦτο κυρίῳ, ὃς ἐσκέπασεν τοὺς
οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυ-
πτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐῤῥύσατο. καὶ μεθ' ἕτερα.*

*Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων, Εἶπον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς, Ὅταν εἰσέλθητε εἰς τὴν γῆν ἣν
ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε
δράγμα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα. καὶ ἀνοίσει τὸ
δράγμα ἐναντίον κυρίου δεκτὸν ὑμῖν, τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει*
D *αὐτὸ ὁ ἱερεύς. καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε τὸ δράγμα
πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ κυρίῳ. καὶ τὴν
θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ,*
V 60 *θυσία τῷ κυρίῳ, εἰς ὀσμὴν εὐωδίας κυρίῳ καὶ σπονδὴν αὐτοῦ
τὸ τέταρτον τοῦ οἴνου καὶ ἄρτον καὶ πεφρυγμένα χίδρα νέα οὐ
φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε
ὑμεῖς τὰ δῶρα τοῦ θεοῦ ὑμῶν, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς
ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν. καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύ-
ριον τῶν σαββάτων ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δρά-*
R 174 *γμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἀριθμήσεις*
P 74 *ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος, ἀριθμήσετε πεντήκον-
τα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ κυρίῳ· ἀπὸ τῆς κα-*

2. τοῦτο τῷ P, τούτῳ V. 4. μεθ' ἕτερα] Levit. XXIII. 10. 7. θερίσητε P. 8. δράγμα erasis τα V, δράγματα P. 9. ἔναντι P. 10. ἐν alterum om. P. 12. δέκατα] δεκατάς V. 13. θυσίαν P. 14. τὸ om. P. 15. ταύτην om. V. 16. ὑμεῖς om. P. 19. ἀριθμήσεις om. Levit.

filii vestri: Quis cultus hic? Et dicetis eis: Victima Pascha hoc Domino, qui protexit domos filiorum Israel in Aegypto, quando percussit Aegyptios: at domos nostras liberavit. Rursum post alia.

Et locutus est Dominus ad Moysen, dicens: *Loquere filiis Israel, et dices ad eos: Quando ingressi fueritis in terram, quam ego do vobis, et messueritis messem ipsius, et feretis manipulos primitias messis vestrae ad sacerdotem. Et offeret manipulum coram Domino acceptabile vobis, crastina die a primo offeret illum sacerdos. Et facietis in die qua tuleritis manipulum, ovem immaculatam anniculam in holocaustum Domino. Et sacrificium ejus duae decimae similae confectae in oleo, sacrificium Domino; in odorem suavitatis Domino, et libationem ejus quartam partem hin vini. Et panem et tosta farra nova non comedetis usque ad ipsam diem hanc; quoad obtuleritis dona Dei vestri: legitimum sempiternum in generationes vestras in omni habitatione vestra. Et numerabitis vobis a postero die sabbatorum, a die qua obtuleritis manipulum impositionis, septem hebdomadas integras numerabis usque ad crastinum ultimae hebdomadis, numerabis quinquaginta dies, et offeretis sacrificium novum Domino. Ab*

τοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, δύο ἄρτους, ἐκ δύο δεκάτων σεμιδάλεως ἔσονται, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ κυρίῳ. καὶ προσάξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ μόσχον ἕνα ἐκ βουκολίου καὶ κριοὺς δύο ἀμώμους, καὶ ἔσονται εἰς ὁλοκαύτωμα τῷ κυρίῳ, καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν θυσία ὀσμὴ εὐωδίας τῷ κυρίῳ. καὶ μεθ' ἕτερα.

Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις, καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσα- B
ράκοντα ἔτη. καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ ἐξιλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν, καὶ ἁγιάσετε τὸ ἔτος τὸ πεντηκοστόν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. ἐνιαυτὸς ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν. καὶ ἀπελεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεσθε. ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν.

Καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρήμῳ Σινὰ ἐν τῷ ἔτει τῷ δευτέρῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ λέ-
γων, Εἶπον καὶ ποιείτωσαν υἱοὶ Ἰσραὴλ τὸ πάσχα καθ' ὥραν αὐτοῦ C
τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν

1. προσοίσετε] οἴσετε V. ib. δεκατῶν V. 2. ἔσονται] ἔσται ὁ ἄρτος ὁ εἷς V. 5. εἰς om. P. 7. μεθ' ἕτερα] XXV. 8. 10. διαγγελήσονται V hic et 12. ib. φωνὴν P. 15. ἀπελεύσεσθε P. 18. καὶ ἐλάλησε] Numer. IX. 1. 19. ἐκ γῆς] ἐξ V. 20. ποιήτωσαν V, ποιησάτωσαν P. ibid. οἱ υἱοὶ P. 21. τεσσαρισκ.] ιδ' P.

habitatione vestra offeretis panes impositionem, duos panes: ex duabus decimis similae erunt, fermentati coquentur primitiarum domino. Et offeretis cum panibus, septem agnos immaculatos anniculos, et vitulum unum ex bobus et arietes duos immaculatos, et erunt holocaustum Domino, et sacrificia eorum, et libationes eorum sacrificium odor suavitatis Domino. Et post alia.

Et numerabis tibi ipsi septem requies annorum septem annos septies: et erunt tibi septem hebdomades, annorum novem, et quadraginta anni. Et annunciabitis tubae vocem in omni terra vestra, mense septimo, decima mensis. Die propitiationis annunciabitis tuba in omni terra vestra: Et sanctificabitis annum quinquagesimum, et clamabitis remissionem in terra, in omnibus habitantibus eam. Annus remissionis significatio haec erit vobis. Et redibitis unusquisque in possessionem suam, et quilibet in familiam suam redibitis. Remissionis significatio haec erit vobis.

Et locutus est Dominus ad Moysen in deserto Sinai, in anno secundo egressorum eorum de terra Aegypti, in mense primo, dicens: *Dic, et faciant filii Israel Pascha juxta tempus suum. Quarta et decima die*

ποιήσετε αὐτὸ κατὰ καιρούς. κατὰ τὸν νόμον αὐτοῦ καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσετε αὐτό.

Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ ποιῆσαι τὸ πάσχα. ἐναρχομένου τῇ τεσσαρισκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἐν τῇ ἐρήμῳ Σινά, καθὰ συνέταξε κύριος τῷ Μωϋσεῖ, οὕτως ἐποίησαν υἱοὶ Ἰσραήλ. καὶ παρεγένοντο οἱ ἄνδρες οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ προσῆλθον ἔναντι Μωϋσεῖ καὶ Ἀαρὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ εἶπον οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐ- D *τούς, Ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν ὥστε προσενεγκεῖν τὸ δῶρον κυρίου κατὰ καιρὸν αὐτοῦ ἐν* R 176 *μέσῳ υἱῶν Ἰσραήλ. καὶ εἶπε Μωϋσῆς πρὸς αὐτούς, Στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται κύριος περὶ ὑμῶν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων, Ἄνθρωπος ἄνθρωπος, ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πάσχα τῷ κυρίῳ τῷ μηνὶ τῷ β' ἐν τῇ ιδ' ἡμέρᾳ, πρὸς ἑσπέραν ποιήσουσιν αὐτό, ἐπ' ἀζύμων καὶ πικρίδων φάγονται αὐτό. οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ, καὶ ὀστοῦν οὐ* P 75 *συντρίψουσιν ἀπ' αὐτοῦ, κατὰ τὸν νόμον τοῦ πάσχα ποιήσουσιν αὐτό. καὶ ἄνθρωπος ὃς ἐὰν καθαρὸς ᾖ καὶ ἐν ὁδῷ μακρὰν οὐκ*

1. *καιρούς*] *καιρὸν αὐτοῦ* P. 2. *τὴν* om. P. *ibid.* *ποιήσεις* P. 4. *τεσσαρεσκ.* P. *ibid.* *τοῦ πρώτου* om. P. 5. *τοῦ Σινὰ* P. *ib.* 8. *Μωϋσῇ* PV. 6. *οἱ υἱοὶ* P. 8. *ἐναντίον* P. 10. *ὑστερήσομεν* P. 12. *καὶ* om. P et V (?). 13. *ἀκούσομεν* P. *ib.* *κύριος περὶ ὑμῶν*] *περὶ ὑμῶν κύριος* P. 15. *ἂν* P. 16. *ὑμῖν*] *ἐν ὑμῖν* V. 17. *τῷ*] *ἐν τῷ* P. 18. *ποιήσουσιν*] *ποιήσετε* V. 21. *ἂν* P.

mensis primi ad vesperam facietis illud, juxta tempus suum, secundum legem ejus, et juxta comparationem ejus facies illud.

Et locutus est Moyses filiis Israel facere Pascha, incipiente quarta decima die mensis in deserto Sinai, sicut praecepit Dominus Moysi, sic fecerunt filii Israel. Et venerunt viri, qui erant immundi super anima hominis, et non potuerunt facere Pascha in die illa. Et accesserunt coram Moyse, et Aaron in illa die. Et dixerunt viri ad eos: *Nos immundi sumus super anima hominis: non igitur fraudemur ad offerendum donum Domino juxta tempus suum, in medio filiorum Israel?* Et dixit ad eos Moyses: *State ibi, et audiemus quid praecipiet de vobis Dominus.* Et locutus est Dominus ad Moysen, dicens: *Homo, homo, qui fuerit immundus super anima hominis, aut in via longe a vobis, aut in generationibus vestris, et faciet Pascha Domino, in mense secundo in quarta et decima die ad vesperam facient illud: in azymis et herbis amaris comedent illud. Non relinquent ex eo in mane, et os non confringent ex eo: juxta legem Paschae facient illud. Et homo qui mundus fuerit, et in via longe*

ἐστιν, καὶ ὑστερήσει τοῦ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον κυρίῳ οὐ προσήνεγκεν κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος. ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ V 61 γῇ ὑμῶν, καὶ ποιήσει τὸ πάσχα κυρίῳ κατὰ τὸν νόμον τοῦ πάσχα καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ, οὕτω ποιήσει αὐτό. νόμος εἷς ἔστω ὑμῖν καὶ τῷ προσηλύτῳ καὶ τῷ αὐτόχθονι τῆς γῆς.

Αὗται αἱ ἑορταὶ τῷ κυρίῳ καὶ αὗται ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρισκαιδε- B κάτῃ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ, καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων· ἑπτὰ ἡμέρας ἄζυμα φάγεσθε. καὶ ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Εἶτα βουλόμενοι γνῶναι πότε ἔφθασεν ἡ δεκάτη τοῦ πρώτου μηνός, τίθεμεν τὰ ‚γωλη' ἔτη, καὶ μερίζομεν παρὰ τὸν ιθ'. ιθ' σ' γίνονται ‚γω', ιθ' α' γίνονται ιθ'. λοιπὸν ιθ'. ἔχει δὲ τὸ κατὰ φύσιν ιθ' ἔτος ἐπακτὰς λ'. ταύταις συνάπτομεν τὰς ιγ' τὰς πρὸ τῶν φωστήρων καὶ προσελήνους ζ' καὶ ἀπὸ κα' καὶ αὐ- C τῆς τοῦ μαρτίου μηνός, καθ' ἣν ἡ ἰσημερία γνωρίζεται, ια' καὶ

1. τοῦ om. P. 3 αὐτοῦ alterum om. P. 6. οὕτως ποιήσουσιν P. 7. ἔσται P. 8. αὗται] Levit. XXIII. 4. 9. τεσσαρισκ. P. 11. πρώτῃ καὶ δεκάτῃ P. 16. πόθεν P, πότεν R. 19. συνάπτωμεν PV.

non est, et fraudabitur facere Pascha, exterminabitur anima illa de populo suo: quia donum Domino non obtulit juxta tempus suum: peccatum accipiet homo ille. Si vero accesserit ad vos advena in terra vestra, et faciet Pascha Domino juxta legem Paschae, et juxta ordinem ejus, sic facient illud. Lex una erit vobis et advenae, et indigenae terrae.

Haec festa Domini vocata sancta, quae vocabitis ipsa in temporibus suis. In primo mense, in quarta decima die mensis, inter vespertina Phase Domino. Et in quinta decima die mensis hujus, festum azymorum Domino, septem dies comedetis azyma. Et dies prima vocata sancta erit vobis. Omne opus servile non facietis. Et dies septima vocata sancta erit vobis: omne opus servile non facietis.

Deinde si velimus nosse, quando decima Luna primi mensis inciderit, ponimus annos 3838. quos per 19. dividimus. 19. ducimus in 200. et fiunt 3800. Novendecim duc in monadem, fiunt 19. relinquentur 19. Annus porro naturalis decimus nonus, habet epactas 30. His addamus illas 13. ante luminaria et septem antelunares: praeterea (undecim illas) a 21. Martii mensis, quo die aequinoctium designatur, et novem insuper ex Aprili, fiunt septuaginta. Abjice deinceps bis 30. fiunt 60. remane-

ἀπριλίου θ', γίνονται ο'. ἔκβα βλ', γίνονται ξ'. λοιπὸν ι'. καὶ
R 178 δῆλον ὡς ι' τοῦ πρώτου μηνός, καθ' ὃ τὸ πρῶτον ἐν Αἰγύπτῳ πά-
σχα ἐπετελεῖτο, καὶ προσετάχθησαν οἱ υἱοὶ Ἰσραὴλ λαβεῖν τὸ
πρόβατον καὶ διατηρῆσαι, τῇ θ' ἔφθασεν τοῦ ἀπριλίου μηνός.
διὰ τί δὲ ,γωλη' ἐμερίσαμεν, καὶ οὐχὶ τὸ ἓν ἐξελόντες τὰ ,γωλζ'
ἐμερίσαμεν; ἐπειδὴ ,γωλη' ἔτει γενέσεως κόσμου εἰσῆλθον πρὸς
Φαραὼ Μωϋσῆς καὶ Ἀαρών, καὶ ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρ-
τίου μηνὸς ἐπελάβετο τὸ γωλθ' ἔτος τοῦ κόσμου. καὶ εἰκότως
D τὰ ,γωλη' μερίζομεν παρὰ τὸν ιθ'.

Εἶτα θέλοντες γνῶναι καὶ πότε γέγονεν ἡ ιδ', καθ' ἣν ἐπετε-
λέσθη τὸ πάσχα, τίθεμεν τὰς τοῦ φύσει ιθ' ἔτους ἐπακτὰς λ'
καὶ πρὸ τῶν φωστήρων ιγ' προσελήνους ζ' καὶ ια' τὰς ἀπὸ
κα' μαρτίου καὶ ιγ' ἀπριλίου· γίνονται οδ'. ἔξελε βλ', γίνον-
ται ξ'. λοιπὸν ιδ'. καὶ ἔγνωμεν ὡς ἡ ιδ' τῆς σελήνης κατὰ τὸ
παρὸν ἔτος ἔφθασεν τῇ ιγ' τοῦ ἀπριλίου μηνός.

Εἶτα θέλοντες γνῶναι καὶ ποία ἡμέρα τῆς ἑβδομάδος ἦν,
ὅτε τὸ πρῶτον ἐν Αἰγύπτῳ γέγονε πάσχα, τίθεμεν τὰ ,γωλη' ἔτη.
P 76 τούτοις προσάπτομεν τὸ τέταρτον, γίνονται ,δψϞζ'. μέρισον ἑβ-
δόμου ζ', χ' γίνονται. ,δσζ' π', γίνονται φξ'. ζ' ε', γίνονται λε'.
λοιπὸν β'. ταύταις πρόσβαλε πρὸ τῶν φωστήρων γ', γίνονται ε',
καὶ ια' τὰς ἀπὸ κα' μαρτίου, γίνονται ιϛ'. πρόσβαλε καὶ ἀπρι-
λίου ιγ', γίνονται κθ'. ταύτας εἰς ζ', ζ' δ' γίνονται κη'. λοι-

1. ἀπριλλίου P hic et infra. 2. πάσχον V. 13. βλ'] λβ' V.
16. ποία ἡ ἡμέρα P.

bunt 10. Planum ergo fit decimam Lunam primi mensis, (qua primum in Aegypto Pascha celebrabatur, et jussi sunt filii Israel agnum accipere et servare) in nonum Aprilis mensis incidisse. Sed cur partiti sumus annum mundi 3838. et non potius abjecto uno divisimus 3837? Quia Moyses cum Aarone anno mundi, 3838. ingressus est ad Pharaonem; e a 21. Mensis Martii inchoabat jam annus mundi 3839. Merito ergo 3838. dividimus per 19.

Porro si lubet scire quando 14. Luna extiterit, qua Pascha celebratum est: ponimus illas 30. epactas, quas annus decemnovennalis natura sua habet; et 13. praeterea illas ante luminaria, ac 7. antelunares, illasque 11. a 21. Martii: et 13. Aprilis; fiuntque 74. Abjice bis 30. et erunt 60. relinquenturque 14. Ita discimus, quo pacto 14. Luna praesentis anni in diem 13. mensis Aprilis inciderit.

Insuper si velimus etiam scire, quis ille dies hebdomadis fuerit, quo die primum in Aegypto Pascha institutum est: numeramus annos 3838. His quartam adjicimus partem, existuntque 4797. Duc 7. in 600. prodibunt 4200. Duc 7. in 80. exstabunt 560. Duc 5. in 7. nascentur 35. superant duo: his adjice tres ante luminaria, et erunt 5. undecimque a 21. Martii, erunt 16. Adde ex Aprili 13. erunt 29. Duc 4. in 7. erunt

πὸν α΄. καὶ ἔγνωμεν ὡς ἡ ιδ΄ τοῦ πρώτου μηνὸς τῆς σελήνης, καθ᾽ ἣν πρῶτον τὸ ἐν Αἰγύπτῳ πάσχα ἐπετελέσθη, ἔφθασεν τῇ ιγ΄ τοῦ ἀπριλίου μηνὸς καὶ ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος.

Μετὰ τὰς ι΄ πληγὰς ἡ κάλυψις τῆς θαλάσσης ἐπὶ Φαραὼ καὶ B ἐπὶ τοὺς Αἰγυπτίους ια΄.

Τὸν Μωϋσῆν μετὰ τὸ ἐπαγαγεῖν αὐτὸν τὰς πληγὰς οἱ Αἰγύπτιοι Ψομ-Θομ-Φαν-Χθὴ προσηγόρευσαν, ὃ ἑρμηνεύεται, ᾧ ἀπεκαλύφθη τὸ μέλλον.

Μωϋσῆς προεφήτευσεν λέγων, Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεός, ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα.

Ἀαρὼν προεφήτευσεν λέγων, Μή μοι ὀργίζου, κύριε· σὺ V 62 γὰρ οἶδας τὸ ὅρμημα τοῦ λαοῦ τούτου· λέγουσι γάρ μοι, Ποίησον ἡμῖν θεούς.

γ΄, δ΄, ε΄, ϛ΄.

ϛ΄ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ καὶ πϛ΄ Μωϋσέως R 180 Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ πθ΄ ἔτος κατάγων πρῶτος Ἑβραίων C ἀρχιερεὺς κατέστη.

ζ΄, η΄, θ΄, ι΄, ια΄, ιβ΄, ιγ΄, ιδ΄, ιε΄, ιϛ΄, ιζ΄, ιη΄.

Ἑβραίων τὴν ἀρχιερωσύνην δεύτερος διεδέξατο Ἐλεάζαρος υἱὸς Ἀαρών.

2. πρῶτος V, qui voluit fortasse πρώτως. ib. πάσχον V. 8. τὸ om. P. 10. κύριος om. P. 11. σὺ] οὐ RV. Exod. XXXII. 22. 15. τῷ ϛ΄ P.

28. relinquitur unum. Intelligitur ergo quemadmodum 14. Luna mensis Anni a m. c. primi, qua primum in Aegypto Pascha celebratum est, in 13. diem Aprilis inciderit, primaque hebdomadis die peractum sit.

Post x. plagas secuta est alia, qua Pharao et Aegyptii mari obruti, eoque contecti perierunt.

Moysen, post inductas ab eo plagas, Aegyptii appellavere Psom-Thom-Phan-Chti, hoc est, cui futura revelata sunt.

Moyses prophetavit, dicens: *Prophetam vobis suscitabit Deus sicuti me: ipsum in omnibus audietis.*

Aaron quoque prophetavit dicens: *Ne irascaris, Domine, mihi: non enim nosti impetum populi hujus. Dicunt enim mihi: fac nobis Deos.*

III. IV. V. VI. 3840.

Hoc anno VI. migrationis filiorum Israel, et anno LXXXVI. Aaron, frater ejus, cum ageret annum LXXXIX. primus Hebraeorum summus pontifex est creatus.

VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII.

Summum Pontificatum Hebraeorum excepit Eleasarus, filius Aaron.

ιϑ', κ', κα', κβ', κγ', κδ', κε', κϛ', κζ', κη', κϑ', λ', λα', λβ', λγ', λδ', λε', λϛ', λζ', λη', λϑ', μ'.

Εἰς τὸν Μωϋσῆν.

D Οὗτός ἐστιν ὁ μέγας Μωϋσῆς ὁ τῶν παραδόξων σημείων καὶ τεράτων ποιητής, ὁ τῆς κτίσεως κοσμογράφος, ὁ σκιαῖς τοῦ ἀληθινοῦ ἡμῶν ποιμένος Χριστοῦ τετιμημένος καὶ προσώπῳ ὑπὸ θεοῦ δεδοξασμένος, ὁ λόγοις καὶ ἔργοις προμηνύων τὰ τῆς οἰκονομίας τοῦ δεσπότου Χριστοῦ, ἔργοις μὲν ὡς τὸν Ἰσραὴλ ἐκ δουλείας Αἰγυπτίων λυτρώσασθαι, τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος ποιησάμενος, τὴν διάβασιν τῆς θαλάσσης ὡς ἐπὶ βαπτίσματος διὰ τῆς νεφέλης προμηνύων τὴν δόσιν τοῦ νόμου καὶ τῆς ἐρήμου τὴν διαγωγήν, ὡς ἐπὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ἐκ-
P 77 κλησίας προτυπούμενος, τὸν ὄφιν τὸν χαλκοῦν ἐφ' ὑψηλοῦ στήσας, τὸ πάθος τὸ διὰ τοῦ σταυροῦ τοῦ δεσπότου Χριστοῦ προκατήγγελλεν τὴν εἴσοδον τῆς γῆς τῆς ἐπαγγελίας διὰ Ἰησοῦ παραπέμψας τὸ κατοικητήριον τὸ ἐν οὐρανοῖς προεγράφετο, ᾧ τάξις μεσίτου ὑπερφυὴς διὰ πλειόνων θαυμάτων ἱστορουμένη. τί δὲ δεῖ λέγειν καὶ περὶ τῆς σκηνῆς τῆς οὔσης ἐκμαγεῖον παντὸς τοῦ κόσμου, ἐν ᾗ καὶ τὸ ἱλαστήριον ἔθετο, τάξιν ἐπέχον τοῦ δεσπότου Χριστοῦ· ἀλλ' ἵνα μὴ μηκύνωμεν τὸν λόγον, πολλάκις αὐτὰ προειρηκότες, ἐπὶ τὴν προ-

14. προκατήγγελεν P. 15. τῆς alterum om. P. 18. τοῦ om. P. ibid. τὸ om. P. 19. μηκύνωμεν] μείνομεν P.

XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV. XLVI. XLVII. XLVIII. XLIX. L. LI. LII. LIII. LIV. LV. LVI. LVII. LVIII. LIX.

De Moyse.

Hic est magnus ille Moyses, mirandorum signorum et prodigiorum patrator, qui mundi creationem descripsit: qui Christum verum nostrum Pastorem adumbrare, et Deum videre meruit: qui verbis et factis Christi dispensationem praenuntiavit: ac factis quidem, ut qui Israelitas ab Aegyptiorum servitute liberaverit, Pascha et effusionem sanguinis instituerit: qui per maris factum transitum baptismum expressit: qui per nubem praenuntians legis promulgationem, et vitam in eremo, Spiritus sancti et Ecclesiae formam designavit: qui per serpentem aereum in sublime erectum, Christi Domini per crucem passionem praedixit: qui ingressum in terram Repromissionis, per Jesum filium Nave praemittens, coeleste domicilium descripsit: cui supernaturalis Mediatoris status per plura miracula descriptus est. Quid porro de Tabernaculo dicere attinet, quod mundi totius extitit figura, in quo et propitiatorium collocavit, quod Christi Domini vicem obtinuit? Verum ne diutius sermonem

φητείαν αὐτοῦ τὴν διὰ τῶν λόγων ἔλθωμεν. λέγει τοίνυν οὕτως.
Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν
ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν εἴπῃ πρὸς ὑμᾶς. B
ἔσται δέ, πᾶσα ψυχή, ἥτις οὐκ ἀκούει τοῦ προφήτου ἐκείνου, ἐξο-
λοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. καὶ πάλιν αὐτὸς συγγράφει,
ὡς ἀπὸ τοῦ Βαλαὰμ εἰρημένον, Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ R 182
ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει τοὺς ἄρχοντας
Μωὰβ καὶ ὑποτάξει πάντας τοὺς υἱοὺς Σήθ. υἱοὶ δὲ Σὴθ ὅλος
ὁ κόσμος ἐστί· καὶ οὐχ ἁρμόζει τοῦτο, εἰ μὴ ἐπὶ τοῦ δεσπότου
Χριστοῦ. ὁ γὰρ Σὴθ θεμέλιος ἑρμηνεύεται. ἐπειδὴ οὖν ὁ Καῒν
καὶ τὸ τούτου σπέρμα ἐν τῷ κατακλυσμῷ ὅλον ἀπώλετο, Ἀβὲλ
δὲ ἄπαις νεώτερος ἐτελεύτησεν, τούτων ὁ Σὴθ μεταγενέστερος C
ἐγένετο, ἐξ οὗ καὶ ὁ Νῶε καὶ πᾶς ὁ κόσμος κατάγεται, ὥσπερ τις
θεμέλιος τῶν ἀνθρώπων· διὰ τοῦτο ἐκ τῆς αἰτίας ἐνθουσιασθεὶς
αὐτὸν ὁ Ἀδὰμ ἐπωνόμασε Σήθ, ἵνα εἴπῃ ὅλον τὸν κόσμον. τοῦ-
το δὲ ἐπὶ τοῦ Χριστοῦ καὶ μόνου ἁρμόζει, πρὸς ὃν πᾶσα ἡ θεία
γραφὴ ἀφορᾷ.

Ἰησοῦς Ναυῆ κζʹ, ὁμοῦ ,γωδʹ. V 63

αʹ, βʹ, γʹ, δʹ εʹ.

Ἦν ἀρχιερεὺς Ἐλεάζαρος, υἱὸς Ἀαρών.

1. τῶν om. P. *ibid.* λέγει] Deut. XVIII. 15. 2. ὑμῶν om. P. 6. Ἀβραὰμ P. Conf. Numer. XXIV. 17. 9. οὐκ V. 10. ὅτι Σὴθ θεμέλιος ἑρμηνεύεται m. P. 13. ὁ alterum om P.

protrahamus, eadem saepius iterantes, ad illius Prophetiam quam verbis prodidit, deveniamus. Sic igitur ait: *Prophetam suscitabit vobis Dominus Deus ex fratribus vestris, sicuti me. Illum juxta omnia audietis quaecumque dixerit vobis. Erit autem omnis anima, quae non audierit Prophetam illum, exterminabitur de populo suo.* Rursum ipse scribit, velut ab Abraham dictum: *Orietur stella ex Jacob, et consurget homo de Israel, et percutiet Duces Moab, et subjiciet sibi omnes filios Seth.* Nomine porro filiorum Seth, totus mundus intelligitur: neque tamen in Seth id quadrat, sed in Christum Dominum. Seth enim idem valet quod fundamentum. Nam cum Cain et omnis illius posteritas in diluvio perierit, Abel autem absque liberis natu minor vitam finierit, his posterior Seth erat, ex quo et ex Noe et mundus universus propagatus est, factus veluti hominum fundamentum: propterea divino afflatus spiritu Adam eum Seth appellavit, ut isto nomine totum mundum designaret. Illud autem in unicum Christum quadrat, in quem omnis sacra spectat Scriptura.

Jesus Nave, 27. Colliguntur anni 3804.

I. II. III. IV. V.

Eleazarus, Aaronis filius, summus erat Pontifex.

D ϛ', ζ'.

Τούτῳ τῷ ἔτει τῆς ἑαυτοῦ ἡγεμονίας διαγαγὼν Ἰησοῦ υἱὸς Ναυῆ τοὺς υἱοὺς Ἰσραὴλ εἰς γῆν Χαναὰν δεκάτῃ τοῦ πρώτου μηνὸς διὰ μέσου τοῦ Ἰορδάνου στήσας τοὺς δύο φωστῆρας θεοῦ βουλήσει, πρώτην τε πόλιν τὴν Ἱεριχώ, τῶν τειχέων αὐτῆς πεπτωκότων αὐτομάτως ἄνευ ἀνθρωπίνης καυχήσεως, τὴν Παλαιστινῶν γῆν τῷ Ἰουδαίων ἔθνει διανέμει πρὸς κλῆρον κατὰ φυλήν, κατασκάψας ἐπαρχίας ἑπτὰ καὶ ἐρημώσας βασιλείας κθ' ἐν ἓξ ἔτεσιν· ἐν οἷς καὶ τῆς τῶν Φοινίκων γῆς περιεκράτησεν.

P 78 Προεφήτευσεν Ἰησοῦς καὶ εἶπεν, Κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστιν ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω.

η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κϛ', κζ'.

Μετὰ τελευτὴν Ἰησοῦ ἐξήμαρτεν ὁ λαὸς τῶν υἱῶν Ἰσραὴλ πρὸς τὸν θεόν· καὶ παρέδωκεν αὐτοὺς κύριος ὁ θεὸς τῷ Χουσαρσαθὲμ βασιλεῖ τῆς Μεσοποταμίας, καὶ ἐδούλευσαν αὐτῷ ἔτη η'.

R 184 Χουσαρσαθὲμ η', ὁμοῦ ,γϡιβ'.

α', β', γ', δ', ε', ϛ', ζ', η'.

B Ἑβραίων τὴν ἀρχιερωσύνην τρίτος διεδέξατο Φινεές.

Μετὰ τελευτὴν τοῦ Χουσαρσαθὲμ κρατοῦσιν Ἑβραίων ἀλ-

5. τε τὴν πόλιν P. 11. τῆς om. P. 15. δουλεία πρώτη m. R. 21. δευτέρα δουλεία m. P.

Anni a m. c. VI. VII.

Hoc anno Principatus sui Jesus filius Nave cum in Chananaeorum terram decima mensis per medium Jordanem filios Israel deduceret, ac duo coeli luminaria Dei nutu stitisset, primamque urbem Jericho, moenibus illius sponte ac sine vi humana cadentibus, cepisset, Palaestinorum terram Judaeorum genti tributim sorte partitur: provinciis VII. destructis, ac XXIX. regnis intra sexennium desolatis: qua etiam tempestate terram Phoenices obtinuit.

Prophetavit quoque Jesus, et dixit: *Dominus Deus noster Dominus unus est in coelo sursum, et in terra deorsum.*

VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII.

Defuncto Jesu, populus filiorum Israel peccavit in Deum: eosque tradidit Dominus Chusarsathem Regi Mesopotamiae, cui annos VIII. servierunt.

3921. Chusarsathem, 8. Colliguntur anni 3912.

I. II. III. IV. V. VI. VII. VIII.

Hebraeorum summum Pontificatum tertius obtinuit Phinees.

Post mortem Chusarsathem, Hebraeis, iis subactis, imperarunt alie-

λόφυλοι ἔτη η', ἃ καὶ συνάπτεται τοῖς τοῦ Γοθονιὴλ κατὰ τὰς Ἰουδαίων παραδόσεις. καὶ κεκραξάντων τῶν λαῶν πρὸς τὸν θεὸν ἀνέστησεν αὐτοῖς κύριος ὁ θεὸς ἡγεμόνα τὸν Γοθονιήλ. ἀδελφὸν Χαλὲβ τὸν νεώτερον, ἐκ φυλῆς Ἰούδα. οὗτος παρετάξατο τῷ Χουσαρσαθὲμ βασιλεῖ τῆς Μεσοποταμίας εἰς πόλεμον, καὶ ἔκρινεν αὐτὸν, καὶ τὸν λαὸν αὐτοῦ προενόμευσεν, καὶ ἦρξεν Γοθονιὴλ κρίνων τὸν λαὸν ἔτη λβ'. ὁμοῦ ,γϡμδ'.

α', β', γ', δ', ε', ϛ', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', C
ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κϛ', κζ', κη', κθ',
λ', λα', λβ'.

Καὶ πάλιν ἐξήμαρτεν ὁ λαὸς τῶν υἱῶν Ἰσραὴλ πρὸς τὸν θεόν. καὶ παρέδωκεν αὐτοὺς κύριος ὁ θεὸς τῷ Ἐγλὼμ βασιλεῖ Μωαβιτῶν, καὶ ἐδούλευσαν αὐτῷ υἱοὶ Ἰσραὴλ ἔτη ιη', ὁμοῦ ,γϡξβ'.

α', β', γ', δ', ε', ϛ', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη'.

Ἐπιστρεψάντων τῶν υἱῶν Ἰσραὴλ πρὸς τὸν θεὸν ἀνέστησεν D
αὐτοῖς κύριος ὁ θεὸς ἡγεμόνα τὸν Ἀώδ, ἄνδρα ἐκ φυλῆς Ἐφραΐμ· καὶ ἀπέκτεινε τὸν Ἐγλὼμ βασιλέα Μωαβιτῶν. καὶ ἦρξεν τοῦ λαοῦ Ἀὼδ ἐκ φυλῆς Ἐφραΐμ, καὶ ἐδούλευσαν αὐτῷ ἔτη νϛ'.

Ἀὼδ νϛ', ὁμοῦ ,δ ιη':

3. κατὰ τούτους τοὺς χρόνους Προμηθεὺς μυθεύεται σοφὸς ὢν ἐν παιδείᾳ, ἐν ᾗ τοὺς ἀνθρώπους ἀπὸ ἰδιωτείας μετέπλασεν. m. P. 6. ἔκρινεν] ἐνίκησεν P sola. 12. γ' δουλεία m. P.

nigenae annis VIII. qui annis Gothoniel adjunguntur, juxta Hebraeorum traditiones. Clamantibus autem ad Deum populis, suscitavit illis Dominus Deus Gothoniel, fratrem Chaleb natu minorem, ex tribu Juda. Hic cum Chusarsathem Rege Mesopotamiae bello congressus, eum devicit, ac illius exercitum est depraedatus: et judicavit Gothoniel populum annis XXXII. Colliguntur anni II. MDCCCCXLIV.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII.
XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI.
XXXII.

Et rursum peccavit populus filiorum Israel adversus Deum: et tradidit illos Dominus Deus Eglom Moabitarum Regi, et servierunt ei filii Israel annis XVIII. Colliguntur anni II. MDCCCCLXII.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI XII. XIII. XIV. XV. XVI. XVII. XVIII.

Reversis ad Dominum Deum filiis Israel, suscitavit illis Dominus Deus ducem Aod, ex tribu Ephraim, qui occiso Eglom Rege Moabitarum, imperavit populo Aod, ex tribu Ephraim, cui servierunt annos LVI.

Aod, 56. Colliguntur anni 4018.

α', β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ',
V 64 ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κς', κζ', κη', κθ', λ', λα',
P 79 λβ', λγ', λδ', λε', λς', λζ'. λη', λθ', μ', μα', μβ', μγ', μδ',
με', μς', μζ', μη', μθ', ν', να', νβ', νγ', νδ',νε', νς'.

R 186 *Ἦν ἀρχιερεὺς Ἀβιούδ.*

Μετὰ τελευτὴν Ἀὼδ τοῦ κριτοῦ ἔκρινεν ὁ υἱὸς αὐτοῦ Σεμεγὰρ τὸν λαὸν τῶν υἱῶν Ἰσραήλ.

Σεμεγὰρ κδ', *ὁμοῦ ,δμβ'.*

α', β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ'.

Ἦν ἀρχιερεὺς Βοχχεί.

B *Μετὰ τὸ ἀποθανεῖν Ἀὼδ καὶ Σεμεγὰρ ἐξήμαρτεν ὁ λαὸς τῶν υἱῶν Ἰσραὴλ ἐναντίον κυρίου τοῦ θεοῦ, καὶ παρεδόθησαν ὑπὸ κυρίου τῷ Ἰαβεὶς βασιλεῖ τῶν Χαναναίων, καὶ ἐδούλευσαν αὐτῷ ἔτη κ'.*

Ἰαβεὶς κ', *ὁμοῦ ,δξβ'.*

α', β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις', ιζ', ιη', ιθ', κ'.

Ἐν τοῖς χρόνοις τούτοις προεφήτευσεν Δεββώῤῥα, γυνὴ Λαφιδὼ ἐκ φυλῆς Ἐφραΐμ, καὶ εἶπεν, Οὐχ ἰδοὺ κύριος ἐξελεύσεται

6. Ἀὼδ om. R. 12. δ' δουλεία m. P. 19. Δεβώῤῥα V.

Anni am. c. I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV. XLVI. XLVII. XLVIII. XLIX. L. LI. LII. LIII. LIV. LV. LVI.

Summus Pontifex erat Abiud.

Post mortem Aod Judicis, illius filius Semegar Populum filiorum Israel judicavit.

Semegar, 24. Colliguntur anni 4042.

4019. I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV.

Summus Pontifex erat Bocchi.

Postquam mortui sunt Aod et Semegar, peccavit populus filiorum Israel coram Domino Deo, et traditi sunt a Domino Jabis Regi Chananaeorum, et servierunt illi annos XX.

Jabis, 20. Colliguntur anni 4062.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX.

Iisdem annis, prophetavit Deborra, uxor Laphido, ex tribu Ephraim, et dixit: *Nunquid ecce Dominus egredietur post te, et expugnabit adver-*

ὄπισθέν σου καὶ πολεμήσει τοὺς ἀντιδίκους σου; καὶ δι' αὐτῆς
ἡγήσατο τῆς στρατιᾶς τοῦ λαοῦ Βαρὰχ ὁ υἱὸς Ἀμινοὲμ ἐκ φυλῆς
Νεφθαλείμ, ὃς παραταξάμενος τῷ Σισάρᾳ τῷ ἄρχοντι τῆς στρα- C
τιᾶς τοῦ Ἰαβεὶς ἐνίκησεν αὐτόν, καὶ ἦρξεν αὐτῶν Δεββώῤῥα δια-
κρίνουσα ἔτη μ'.

Δεββώῤῥα μ', ὁμοῦ ,δρβ'.

α'.

Δεβώῤῥα ἐκ φυλῆς Ἐφραΐμ, γυνὴ Λαφιδώ, καὶ Βαρὰχ ὁ
τοῦ Ἀμινοὲμ φυλῆς Βενιαμὶν πνεύματι θεοῦ προαχθέντες καὶ πα-
ραταξάμενοι τῷ Σισάρα στρατηγῷ Ἰαβείς, ἀπέκτειναν αὐτὸν σὺν
πολλῷ πλήθει ἀλλοφύλων, καὶ ἐννακόσια ἅρματα σιδηρᾶ κατεδυ-
νάστευσαν τοῦ Σισάρα. οὗτος δὲ διωκόμενος ὑπὸ Δεβώῤῥας καὶ
Βαρὰχ ὁ Σισάρα ἀναιρεῖται ὑπὸ Ἰαὴλ, γυναικὸς Ἀδὲρ τοῦ Κι-
ναίου, πάσσαλον αὐτῆς λαβούσης ἀπὸ τοῦ τοίχου, καὶ κολλη- D
σάσης κατὰ τοῦ κροτάφου αὐτοῦ καθεύδοντος, καὶ διαδύντος
εἰς τὴν γῆν τοῦ αὐτοῦ πασσάλου. ἦν δὲ ποτισθεὶς γάλακτι,
συνεχόμενος ἀφορήτῳ δίψει.

β', γ', δ', ε', ς', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ις'.

Τούτῳ τῷ ἔτει τὸ Ἴλιον ὑπὸ Ἴλου ἐκτίσθη. [καὶ Ἀσκλη- R 188
πιὸς τὴν ἰατρικὴν μετήει.]

2. τοῦ om. P. *ibid.* Βαροὺχ P. 4. Δεβώρα V. 6. Δεββώ-
ρα V, Δεβάῤῥα P. 10. ἀπέκτεινεν P. 11. κάτεδυνάστησαν P.
15. καταδυέντος P. 18. β'] α', β' P. 19. καὶ — μετήει om. V.
20. μετίει P.

sarios tuos? Illiusque consilio Barach filius Aminoem, ex tribu Nephtalim, exercitum populi eduxit, qui cum Sisara Duce exercitus Jabis congressus, illum vicit, et imperavit iis Deborra, judicavitque annos XL.

Deborra, 40. Colliguntur anni 4102.

I.

τες σκανδαλισθήσεσθε ἐν ἐμοί, προφητεύει Συμεὼν περὶ αὐτῆς τῆς Μαρίας ὅτι παρεστῶσα τῷ σταυρῷ καὶ βλέπουσα τὰ γινόμε- P 205 να καὶ ἀκούουσα τῶν φωνῶν μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν, μετὰ τὴν ἀπόῤῥητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν μεγάλην τῶν θαυμάτων ἐπίδειξιν, γενήσεταί τις καὶ περὶ τὴν σὴν ψυχὴν σάλος. ἔδει γὰρ τὸν κύριον ὑπὲρ παντὸς γεύσασθαι θανάτου, καὶ ἱλαστήριον γενόμενον τοῦ κόσμου πάντας δικαιῶσαι τῷ αὐτοῦ αἵματι. καὶ σοῦ οὖν αὐτῆς τῆς ἄνωθεν δεδιδαγμένης τὰ περὶ τοῦ κυρίου ἅψεταί τις διάκρισις, τουτέστιν ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἀπὸ πολλῶν καρδιῶν διαλογισμοί. ὀνήσεται, ὅτι μετὰ τὸν σκανδαλισμὸν τὸν ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενόμενον τοῖς τε μαθηταῖς καὶ αὐτῇ τῇ Μαρίᾳ ταχεῖά τις B ἴασις παρακολουθήσει παρὰ τοῦ κυρίου, βεβαιοῦσα αὐτῶν τὴν καρδίαν ἐπὶ τὴν αὐτῶν πίστιν. οὕτω γὰρ οἴδαμεν Πέτρον μετὰ τὸ σκανδαλισθῆναι βεβαιότερον τῆς εἰς τὸν Χριστὸν πίστεως ἀντεχόμενον. τὸ ἀνθρώπινον οὖν σαθρὸν διηλέγχθη, ἵνα τὸ ἰσχυρὸν τοῦ κυρίου διδαχθῇ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

Εἶτα γνῶναι θέλοντες καὶ ἐν πόστῃ τῆς ἑβδομάδος ἡμέρᾳ R 488 κατὰ τὸ παρὸν πενταχισχιλιοστὸν φζʹ ἔτος ἔφθασεν ἡ δευτέρα τοῦ φεβρουαρίου μηνός, τίθεμεν τὴν μίαν ἐπακτὴν τοῦ ἡλίου, καὶ ταύτῃ συνάπτομεν τὰς ἀπὸ πρώτης ἀπριλίου μηνὸς ἡμέρας με- C

3. ἀκούσασα P. 8. δεδειδαγμένης V, δεδειγμένης P. 10. ὅπως ἀναποκαλυφθῶσιν P. ib. ἐνήσεται V. 12. τοῖς τε μαθηταῖς] τοῖς δὲ τοῖς μαθηταῖς P. 14. εἴδαμεν PV. 15. τὸν om. P. 19. καὶ om. P. 22. τῆς πρώτης P.

mini. Haec autem ipsi Mariae praedixerat Symeon, (hanc sic affatus) Cum steteris, inquit, ad crucem, spectaverisque omnia quae fiunt, ac verba audieris, post Gabrielis testimonium, post inexplicabilem divinae conceptionis cognitionem, post tot peracta miracula, aliquam tamen in anima tua fluctuationem patieris. Necesse enim erat ut Dominus pro omnibus mortem gustaret, et mundi propitiatorium effectus, universos suo sanguine justificaret. Te ergo ipsam, divinitus licet quae de Domino ventura erant edoctam, quaedam subibit dubitatio, hoc est gladius, ut ex multorum cordibus revelentur cogitationes. Proderit tamen illa, quia post scandalum, quod ex cruce Christi discipulis et ipsi Mariae orietur, cura statim ac sanatio a Domino subsequetur, quae illorum corda in fide confirmabit. Sic videmus Petrum postquam scandalum passus est, firmiorem in Christum fidem servasse. Humana ergo imbecillitas ostensa est, ut Domini potentia edoceretur, cui gloria et imperium in saecula. Amen.

Deinde si nosse quis velit quota hebdomadis die, hoc praesenti anno v. MDVII. secunda mensis Februarii inciderit, ponimus unam Solis

χρις αὐτῆς τῆς δευτέρας τοῦ φεβρουαρίου μηνός, τουτέστιν ἀπριλίου λ', μαΐου λα', ἰουνίου λ', ἰουλίου λα', αὐγούστου λα', σεπτεμβρίου λ', ὀκτωβρίου λα', νοεμβρίου λ', δεκεμβρίου λα', ἰανουαρίου λα', φεβρουαρίου β', γίνονται τθ'. ταύτας ἑβδόμου· ζ' μ' γίνονται σπ'· ζ' δ' γίνονται κη'· λοιπὸν α'. ἔγνωμεν ὡς ἐν κυριακῇ ἔφθασεν, ὅτε Συμεὼν ἐν ἀγκάλαις ἐδέξατο τὸν δεσπότην Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν· καθ' ἣν ἡμέραν ἐδημιούργησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ᾗ ἡμέρᾳ τὴν ἄφθαρτον καὶ ζωοποιὸν ἡμῖν ἀνάστασιν ἐδωρήσατο.

V 165

D Ἰνδ. β'. μβ' ὑπ. Οὐινδικίου καὶ Οὐάρου.

Ἡρώδης τὴν τοῦ Χριστοῦ γέννησιν πυθόμενος παρὰ τῶν μάγων, τὰ περὶ τὴν Βηθλεὲμ ἀναιρεῖ παιδία ἀπὸ διετοῦς καὶ κατωτέρω, οἰόμενος καὶ τὸν Χριστὸν τῆς τοιαύτης τοῖς ὁμήλιξιν συναπολέσαι συμφορᾶς, ὄντος τοῦ κυρίου κατὰ τοῦτον τὸν καιρὸν ἐν Αἰγύπτῳ μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

ρϞε' Ὀλυμπιάς.

Ἰνδ. γ'. μγ'. ὑπ. Λαμίου καὶ Σερβιλίου.

Ἰνδ. δ'. μδ'. ὑπ. Μάγνου καὶ Βαλερίου.

P 206 Ἡρώδης ὑδέρῳ δεινῷ πιεσθείς, σκώληκας δὲ ἐκβράσας ἀπὸ

4. φεβρουαρίῳ V: conf. ad p. 224. D. ib. ἑβδόμῳ RV. 6. εἰς κυριακὴν ὁ Συμεὼν ἐδέξατο ἐν ἀγκάλαις τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν m. P. 10. Οὐινδικίου] τοῦ Ἰνδικίου V, Ἰνδικίου P. ib. Οὐαρίου P.

Anni a m. c. epactam, huicque dies a prima Aprilis mensis adjungimus, usque ad secundam mensis Februarii, scilicet Aprilis xxx. Maii xxxi. Junii xxx. Julii xxxi. Augusti xxxi. Septembris xxx. Octobris xxxi. Novembris xxx. Decembris xxxi. Januarii xxxi. Februarii ii. Colliguntur dies cccix. hos si septuplices, septies xl. efficiunt cclxxx, septies iv. efficiunt xxviii. relinquitur i. Intelligimus ergo in Dominicam incidere, quando Symeon in ulnas excepit Dominum Christum verum Deum nostrum: quo quidem die coelum et terram condidit, quoque die incorruptibilem et vivificam nobis dedit Resurrectionem.

A. C. [Ol. Iph.]

5507. 2. xlii. Ind. ii. Indicio et Vario Coss. 2.

Herodes cum a Magis Christi nativitatem accepisset, pueros circa Bethleem a bimis et infra trucidat, ratus se in hac ejusdem aetatis puerorum clade una Christum sublaturum, cum isto tempore Dominus cum Maria matre sua in Aegypto ageret.

CXCV. Olympias.

3. xliii. Ind. iii. Lamia et Servilio Coss. 3.

5. xliv. Ind. iv. Magno et Valerio Coss. 1. 196.

Herodes aqua intercute afflictus, corpore etiam vermi-

τοῦ σώματος καὶ σαπεὶς ὅλος, καταστρέφει τὸν βίον· ποινὴν δικαίαν τίσας, ἀνθ' ὧν ἀμφὶ Βηθλεὲμ ἀνεῖλεν παίδων τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς ἕνεκα. ἐβασίλευσεν δὲ ἐν τῇ Ἰουδαίᾳ ἀντ' αὐτοῦ Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἔτη θ'

Ἰνδ. ε'. με'. ὑπ. Λεπίδου καὶ Πλάγκου.

Ἰνδ. ς'. μς'. ὑπ. Τιβερίου Καίσαρος καὶ Καπίτωνος.

Ἰουδαίων βασιλέα Αὔγουστος Ἀρχέλαον Ἡρώδου παῖδα καθίστησιν, τετράρχας δὲ ἀποδείκνυσιν Ἡρώδην τὸν καὶ Ἀντί- R 490
παν καὶ Λυσανίαν καὶ Φίλιππον, Ἀρχελάου ἀδελφούς. B

ρϞς' Ὀλυμπιάς.

Ἰνδ. ζ'. μζ'. ὑπ. Κρητίου καὶ Νερβᾶ.

Ἰνδ. η'. μη'. ὑπ. Καμίλλου καὶ Κυντιλιανοῦ.

Ἰνδ. θ'. μθ'. ὑπ. Καμερίνου καὶ Σαβίνου.

Ἰνδ. ι'. ν'. ὑπ. Δολαβέλλα καὶ Σιλανοῦ.

ρϞζ' Ὀλυμπιάς.

Ἰνδ. ια'. να'. ὑπ. Λεπίδου καὶ Ταύρου.

Ἰνδ. ιβ'. νβ'. ὑπ. Τιβερίου Καίσαρος τὸ β' καὶ Σκηπίωνος. C

Ἰνδ. ιγ'. νγ'. ὑπ. Φλάκκου καὶ Σιλάνου.

Ἀποθανόντος Ἀρχελάου βασιλεύει τῆς Ἰουδαίας Ἡρώδης ὁ τετράρχης, ἀδελφὸς αὐτοῦ, υἱὸς δὲ καὶ αὐτὸς Ἡρώδου

1. τοῦ om. P. 2. παιδία P. 3. ἐπιβουλῆς om. P. ibid. δὲ καὶ ἐν P. 7. βασιλέα] τετράρχην V. βασιλέα 16. Λεπιδίου V. 17. Σιπίωνος R.

A. C. [Ol. Iph.] Anni a m. c.

nante et putrescente, vitam finivit, justis poenis datis, quod Servatoris nostri causa pueros circa Bethleem sustulisset. Illius vero loco regnavit in Judaea Archelaus filius annis IX.

6. XLV. Ind. V. Lepido et Planco Coss. 2. 5511.

XLVI. Ind. VI. Tiberio Caesare et Capitone Coss.

Augustus Judaeorum Regem Archelaum Herodis filium creat. Tetrarchas vero renuntiat Herodem Antipam, Lysaniam, et Philippum, Archelai fratres.

CXCVI. Olympias.

7.	XLVII.	Ind. VII.	Cretio et Nerva Coss.		
8.	XLVIII.	Ind. VIII.	Camillo et Quintiliano Coss.		
9.	XLIX.	Ind. IX.	Camerino et Sabino Coss.	1.	197.
10.	L.	Ind. X.	Dolabella et Silano Coss.	2.	

CXCVII. Olympias.

11.	LI.	Ind. XI.	Lepido et Tauro Coss.	3.	
12.	LII.	Ind. XII.	Tiberio Caesare II. et Scipione Coss.	4.	
13.	LIII.	Ind. XIII.	Flacco et Silano Coss.	1.	198.

τοῦ τετράρχου καὶ βασιλέως τῆς Ἰουδαίας, τοῦ καὶ ἀνελόντος τὰ νήπια. βασιλεύει δὲ οὗτος Ἡρώδης ἔτη κδʹ.

Ἰνδ. ιδʹ. νδʹ. ὕπ. Σέξτου καὶ Σέξτου.

ρϞηʹ Ὀλυμπιάς.

Ἰνδ. ιεʹ. νεʹ. ὕπ. Πομπηΐου Μάγνου καὶ Ἀπουληΐου.

D Ἰνδ. αʹ. νϛʹ. ὕπ. Βρούτου καὶ Φλάκκου τὸ βʹ.

Ῥωμαίων γʹ ἐμονάρχησεν Τιβέριος Καῖσαρ ἔτη κβʹ.

ὁμοῦ ‚εφμγʹ.

Ἰνδ. βʹ. αʹ. ὕπ. Ταύρου καὶ Λίβωνος.

Ἰνδ. γʹ. βʹ. ὕπ. Κράσσου καὶ Ῥούφου.

V 166 ρϞθʹ Ὀλυμπιάς.

Ἰνδ. δʹ. γʹ. ὕπ. Τιβερίου Καίσαρος τὸ γʹ καὶ Ῥούφου τὸ βʹ.

Ἰνδ. εʹ. δʹ. ὕπ. Σιλάνου καὶ Βάλβου.

Ἰνδ. ϛʹ. εʹ. ὕπ. Μεσσάλα καὶ Γράτου.

P 207 Ἰνδ. ζʹ. ϛʹ. ὕπ. Τιβερίου Καίσαρος τὸ δʹ καὶ Δρούσου.

σʹ Ὀλυμπιάς.

Ἰνδ. ηʹ. ζʹ. ὕπ. Ἀγρίππα καὶ Γάλβα.

1. καὶ alterum om. P. 2. παιδία P. 4. Ὀλυμπιάδος V. 12. Post βʹ inserit m. R in textu omissa Σιλάνου καὶ Βάλβου. ἰνδ. εʹ. δʹ. numerosque sequentes ita scriptos exhibet: ἰνδ (ϛʹ) εʹ, δʹ (εʹ). ἰνδ. (ζʹ) ϛʹ, εʹ (ϛʹ). ἰνδ. ζʹ. . . Ad quae omnia ab Ducangio ut a me repetuntur conformata tacetur de V.

A. C. [Ol. Iph.]

Extincto Archelao, in Judaea regnat Herodes Tetrarcha frater Archelai, filius Herodis Regis Judaeorum qui pueros sustulerat. Is vero Herodes regnat annis XXIV.

14. LIV. Ind. XIV. Sexto et Sexto Coss. 2.

CXCVIII. Olympias.

15. LV. Ind. XV. Pompeio Magno et Apuleio Coss. 2.

LVI. Ind. I. Bruto et Flacco II. Coss. 3.

Tertius Romanorum Imperator Tiberius Caesar, annis imperavit XXII. Colliguntur anni V. MDXLIII.

16. I. Ind. II. Tauro et Libone Coss. 4.

17. II. Ind. III. Crasso et Rufo Coss. 1. 199.

CXCIX. Olympias.

18. III. Ind. IV. Tiberio Caesare III. et Rufo II. Coss. 2.

19. IV. Ind. V. Silano et Balbo Coss. 3.

20. V. Ind. IV. Messala et Grato Coss. 4.

21. VI. Ind. VII. Tiberio Caesare IV. et Druso Coss. 1. 200.

CC. Olympias.

22. VII. Ind. VIII. Agrippa et Galba Coss. 2.

Ἰνδ. θ'. η'. ὑπ. Πούλλωνος καὶ Βετέρου.

Ἰνδ. ι'. θ'. ὑπ. Κεθήγου καὶ Οὐάρου.

Ἰνδ. ια'. ι'. ὑπ. Ἀγρίππα τὸ β' καὶ Λεντούλου. R 492

σα' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. ια'. ὑπ. Γετουλικοῦ καὶ Σαβίνου

Ἰνδ. ιγ'. ιβ'. ὑπ. Κράσσου καὶ Πίσωνος.

Ἐπὶ τούτων τῶν ὑπάτων Πόντιος Πιλᾶτος ἐπίτροπος τῆς B Ἰουδαίας ὑπὸ Τιβερίου ἐκπέμπεται ιβ' ἔτει τῆς βασιλείας αὐτοῦ, ὡς ἱστορεῖ Ἰώσηπος.

Ἰνδ. ιδ'. ιγ'. ὑπ. Σιλανοῦ καὶ Νερούα.

Ἰνδ. ιε'. ιδ'. ὑπ. Γεμίνου καὶ Γεμίνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἦν ἀρχιερεὺς ἐν Ἱερουσαλὴμ Ἄννας. Ἰωάννης ὁ βαπτιστὴς προφητεύων εἶπεν, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον C τοῦ θεοῦ.

Ὁ αὐτὸς ὡς εἶδεν τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, εἶπεν, Ἴδε, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

7. ὁ Πιλάτος P. 9. Ἰώσηππος P. Bel. Iud. II. 9. 2. 10. Νέρβα P. 13. εἶπεν] Luc. III. 4. 15. καὶ — ταπεινωθήσεται om. P. 19. εἶπεν] Ioan. I. 29. 20. ἴδε] εἶδε V, ἰδοὺ P.

A. C.				[Ol. Iph.]	Anni a m. c.
23.	VIII.	Ind. IX.	Pullone et Vetere Coss.	3.	
24.	IX.	Ind. X.	Cethego et Varo Coss.	4.	
25.	X.	Ind. XI.	Agrippa II. et Lentulo Coss	1. 201.	

CCI. Olympias.

26.	XI.	Ind. XII.	Getulico et Sabino Coss.	2.	
27.	XII.	Ind. XIII.	Crasso et Pisone Coss.	3.	

His Coss. Pontius Pilatus Judaeae Procurator a Tiberio mittitur anno imperii ejus XII., ut narrat Josephus.

28.	XIII.	Ind. XIV.	Silano et Nerva Coss.	4.	5534.
29.	XIV.	Ind. XV.	Gemino et Gemino Coss.	1. 202.	

His Coss. summus Pontifex erat Hierosolymis Annas. Joannes Baptista prophetans, dixit: *Ego vox clamantis in deserto, parate viam Domini, rectas facite semitas ejus. Omnis vallis implebitur, et erunt prava in directa, et aspera in vias planas, et videbit omnis caro salutare Dei.*

Idem ut vidit Jesum venientem ad se, dixit: *Ecce Agnus Dei, qui tollit peccatum mundi.*

Οἱ καθηγησάμενοι τῶν Ἑβραίων τῶν καὶ Ἰουδαίων ἀρχιερεῖς μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἐν Ἱερουσαλήμ.

α'. Πρῶτος ἀρχιερεὺς Ἰησοῦς ὁ τοῦ Ἰωσέδεκ ἅμα Ζοροβάβελ ἔτη λβ'.

β'. Ἰωακεὶμ ἀρχιερεὺς ἔτη λ'.

D *γ'. Ἐλιάσιβος ἀρχιερεὺς ἔτη μ'.*

δ'. Ἰωδαὲ ἀρχιερεὺς ἔτη λϛ'.

ε'. Ἰανναῖος ἀρχιερεὺς ἔτη λβ'.

ϛ'. Ἰαδδοῦς ἀρχιερεὺς ἔτη κ'.

Ἐν τοῖς χρόνοις τούτου Ἀλέξανδρος ὁ Μακεδὼν καὶ κτιστής, Ἀλεξάνδρειαν κτίζων τὴν πρὸς Αἴγυπτον, ἀνελθὼν εἰς Ἱεροσόλυμα, κυρίῳ τῷ θεῷ προσεκύνησεν.

ζ'. Ὀνείας ἀρχιερεὺς ἔτη κα'.

P 208 *η'. Ἐλεάζαρος ἀρχιερεὺς ἔτη ιε'.*

θ'. Σίμων ἀρχιερεὺς ἔτη ιδ'.

R 494 *ι'. Ὀνείας ἀρχιερεὺς ἔτη λβ'.*

ια'. Μανασσῆς ἀρχιερεὺς ἔτη κϛ'.

V 167 *ιβ'. Σίμων ἀρχιερεὺς ἔτη κβ'.*

ιγ'. Ὀνείας ἕτερος ἀρχιερεὺς ἔτη κδ'.

ιδ'. Ἰησοῦς ἀρχιερεὺς ἔτη ιϛ'.

ιε'. Ὀνείας ὁ καὶ Μενέλαος ἀρχιερεὺς ἔτη ζ'.

2. μετὰ τὴν om. P. ib. ἐπανόδῳ P. 10. τούτοις P, τούτου Ἰαδδοῦς m. P.

Principes Hebraeorum, seu Judaeorum, summi Pontifices, a reditu ex Babylone Hierosolymam.

i. Summus Pontifex Jesus, Josedec filius, una cum Zorobabel, regnavit annis xxxii.

ii. Joacim summus Pontifex, an. xxx.

iii. Eliasibus summus Pontifex, an. xl.

iv. Jodae summus Pontifex, an. xxxvi.

v. Jannaeus summus Pontifex, an. xxxii.

vi. Jaddus summus Pontifex, an. xx.

Hac tempestate, Alexander Macedo et urbium conditor, Alexandria in Aegypto condita, Hierosolymam veniens, Dominum Deum adoravit.

vii. Onias summus Pontifex, an. xxi.

viii. Eleazarus summus Pontifex, an. xv.

ix. Simon summus Pontifex, an. xiv.

x. Onias summus Pontifex, an. xxxii.

xi. Manasses summus Pontifex, an. xxvi.

xii. Simon summus Pontifex, an. xxii.

xiii. Onias alter summus Pontifex, an. xxiv.

xiv. Jesus summus Pontifex, an. xvi.

xv. Onias, qui et Menelaus, summus Pontifex, an. vii.

Ἐν τοῖς χρόνοις τούτοις Ἀντίοχος Συρίας βασιλεὺς πολιορκήσας τοὺς Ἰουδαίους ἑλληνίζειν ἠνάγκαζεν. μεθ' ὃν B

ιϛ'. Ἰούδας ὁ ἐπικληθεὶς Μακκαβαῖος προέστη ἔτη λγ'.

Οὗτος ἐξεκάθαρεν τῶν ἀσεβημάτων τὴν χώραν.

ιζ'. Ἰωάνθης ὁ Μακκαβαῖος ἀρχιερεὺς ἔτη ιζ'.

ιη'. Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἀρχιερεὺς ἔτη η'.

ιθ'. Ἰωάνθης ἀρχιερεὺς ἔτη κζ'.

κ'. Ἀριστόβουλος ἀρχιερεὺς ἔτος α'. C

Οὗτος πρῶτος περιέθετο διάδημα βασιλείας πρὸς τῇ ἀρχιερωσύνῃ.

κα'. Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος βασιλεὺς ἅμα καὶ ἀρχιερεὺς ἔτη λ'.

Μέχρι τούτου οἱ ἀπὸ Κύρου βασιλέως Περσῶν χριστοὶ ἡγούμενοι διαρκέσαντες ἔτη υπγ', αἵ εἰσιν ἑβδομάδες ἐτῶν ξθ', αἳ καὶ παρὰ τῷ Δανιὴλ τοῦτον εἴρηνται τὸν τρόπον.

Ἕως γὰρ Ἰανναίου τοῦ καὶ Ἀλεξάνδρου χριστοὶ ἡγούμενοι, ἐφ' ὃν κατέληξαν οἱ κατὰ διαδοχὴν ἐξ ἀρχιερέων ἡγούμενοι, χριστοὶ ὑπὸ τῆς προφητείας ὀνομαζόμενοι. D

σβ' Ὀλυμπιάς.

Ἰνδ. α'. ιε'. ὑπ. Ῥούφου καὶ Ῥουβελλίνου.

Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος,

11. καὶ prius om. P. 13. τοῦ Κύρου P. 17. ὃν] οὗ P. ib. ἐξ om. P. 21. ἐν ἔτει] Luc. III. 1.

His temporibus, Antiochus Syriae Rex, Judaeos, cum eos obsedisset, ad paganismum coegit. Post hunc, Anni a m. c.

xvi. Judas, cognomento Maccabaeus, praefuit annis xxxiii.

Hic regionem ab omni impietate purgavit.

xvii. Jonathas Maccabaeus summus Pontifex, an. xvii.

xviii. Simon frater ejus summus Pontifex, an. viii.

xix. Jonathas summus Pontifex, an. xxvii.

xx. Aristobulus summus Pontifex, an. i.

Hic primus Pontificiae dignitati regium adjecit diadema,

xxi. Jannaeus Alexander, Rex simul et summus Pontifex, an. xxx.

Ad hunc usque, a Cyro Persarum Rege, Uncti principes perstitere annis cdlxxxiii. qui conficiunt hebdomadas annorum lxix. quae apud Danielem hac ratione describuntur.

Etenim usque ad Jannaeum, qui et Alexander dictus est, Uncti principes fuere: sub quo defecerunt summi Pontifices qui ex successione eligi solebant, Christi seu Uncti a Prophetis nuncupati.

CCII. Olympias.

A. C. [Ol. Iph.]

30. xv. Ind. i. Rufo et Rubellino Coss. 2. 5536.

ἐπιτροπεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, τετραρχοῦντος δὲ
τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τε-
τραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσα-
νίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέων Ἄννα καὶ Καϊ-
P 209 άφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ
ἐρήμῳ· καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κη-
R 496 ρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται
ἐν βίβλῳ Ἡσαΐου τοῦ προφήτου λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ
ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· εὐθείας ποιεῖτε τὰς τρί-
βους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βου-
νὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τρα-
χεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ
θεοῦ. καὶ καθὼς γέγραπται ὅτι Ἁγιάσετε τὸ ἔτος τὸ πεντηκο-
στόν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν
B αὐτήν· ἐνιαυτὸς ἀφέσεως ἔσται ὑμῖν· οὕτω καὶ ἐγένετο. ἐν τῷ
γὰρ παρόντι ͵εφλϛʹ ἔτει γενέσεως κόσμου, μηνὶ αὐδυναίῳ ϛʹ, τῆς
τε κληροδοσίας τῶν υἱῶν Ἰσραὴλ ἔτους ͵αψʹ, συμπληρουμένων
Ἰωβηλαίων λδʹ, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχα-
ρίου υἱὸν ἐν τῇ ἐρήμῳ, καὶ ἦλθεν κηρύσσων βάπτισμα μετανοίας
εἰς τὴν κυρίως καὶ κατὰ ἀλήθειαν ἄφεσιν τῶν ἁμαρτιῶν πᾶσιν
V 168 ἀνθρώποις, παρὰ τῷ Ἰορδάνῃ ποταμῷ εὐαγγελιζόμενος ἐν μέ-
σοις αὐτοῖς ἤδη παρεῖναι τὸν χριστὸν τοῦ θεοῦ. καὶ αὐτὸς δὲ

1. δὲ om. P. 2. τοῦ om. P. 3. Ἰτουρέας PV. ib. Τράχων. P. 4. Ἀβιληνῆς PV. ib. ἀρχιερέως V. 10. καὶ—ταπεινωθήσεται om. P. 11. εὐθεῖα P. 12. τὸ σωτήριον τοῦ θεοῦ] τὸν θεὸν P. 13. γέγραπται] Levit. XXV. 10. 16. Αὐδιναίῳ P. 20. κυρίου R.

Anno decimo quinto Imperii Tiberii Caesaris, Pontio Pilato Judaeam procurante, Herode Galilaeae Tetrarcha, Philippo illius fratre Tetrarcha Itureae et Trachanitidis Provinciae, Lysania Abilinae Tetrarcha, Anna et Caipha summum Pontificatum obtinentibus; factum est verbum Domini super Joannem filium Zachariae in deserto: et venit in regionem Jordanis praedicans baptismum poenitentiae, in remissionem peccatorum: sicut scriptum est in libro Isaiae Prophetae, dicentis: *Vox clamantis in deserto, parate viam Domini, rectas facite semitas ejus: omnis vallis implebitur, et erunt prava in directa et aspera in vias planas, et videbit omnis caro Deum.* Et quemadmodum scriptum est: *Sanctificabitis annum quinquagesimum, et annuntiabitis remissionem in terra omnibus habitantibus eam. Annus remissionis erit vobis, ut et factum est.* Hoc enim praesenti anno mundi conditi v. MDXXXVI. mensis Audinei (seu Januarii) die VI. distributionis vero haereditatis filiorum Israel anno MDCC. Jubilaeis XXXIV. completis, factum est verbum Dei super Joannem Zachariae filium in eremo: et venit praedicans baptismum poenitentiae, in nomine Domini, ac veram remissionem peccatorum omnibus hominibus,

*Ἰησοῦς ὁ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς μετὰ τὸ τεχθῆναι ἐν Βηθλεὲμ
τῆς Ἰουδαίας συμπληρώσας ἐτῶν ἀριθμὸν τριάκοντα παρεγένε-
το ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, καὶ
ἐβαπτίσθη ὑπ' αὐτοῦ. ἐν τῇ τρισκαιδεκάτῃ οὖν ἡμέρᾳ τοῦ τρια-* C
*κοστοῦ πρώτου ἔτους αὐτοῦ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἐβα-
πτίσθη τῇ ἕκτῃ, καθὰ λέλεκται, τοῦ αὐδυναίου μηνός, καθὼς
ἀνεπιλήπτως ἐν αὐτῇ ἑορτάζει τὰ ἅγια φῶτα, ἤγουν ἐπιφάνια
τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ καθολικὴ
καὶ ἀποστολικὴ ἐκκλησία ἐν τύπῳ αὐτοῦ τε καὶ τῶν ιβ' μαθη-
τῶν αὐτοῦ.*

*Ἐν τῷ ,ε τοίνυν φζ' ἔτει γενέσεως κόσμου, καθὼς πρόκει-
ται, καὶ τεσσαρακοστῷ τῆς Αὐγούστου Καίσαρος βασιλείας, ἤ-
γουν εἰκοστῷ ὀγδόῳ τῆς αὐτοῦ μοναρχίας, ἐγεννήθη κατὰ σάρκα
Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν. ἐν δὲ τῷ παρόντι ,εφλς' ἔτει
ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου ὁ αὐτὸς κύριος καὶ θεὸς* D
*ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατὰ τὸ πεντηκοστὸν ἔτος τῆς τριακο-
στοτετάρτης πεντηκονταετηρίδος ἀπὸ τῆς κληροδοσίας τῶν υἱῶν
Ἰσραήλ. κατὰ γὰρ πεντηκονταετηρίδα μετὰ τὸ εἰσελθεῖν εἰς τὴν
γῆν τῆς ἐπαγγελίας τοὺς υἱοὺς Ἰσραὴλ ἄφεσιν γίνεσθαι ὁ θεῖος
παρεκελεύσατο νόμος, ἣν ἤρξαντο καταριθμεῖν ἀπὸ ὀγδοηκοστο-
πρώτου ἔτους Μωϋσέως, μετὰ τὸ πέρας δηλονότι τῶν υλ' ἐτῶν* R 498
τῆς πρὸς τὸν Ἀβραὰμ κατὰ τὸ ἑβδομηκοστὸν πέμπτον ἔτος τῆς

1. ὁ Χριστὸς] Χριστὸς P. 6. Αὐδιναίου P. 7. ἐπιφάνεια PV. 9. ἑαυτοῦ PV. 20. ἣν om. R. ib. ἤρξατο RV. ib. ὀγδοηκοστοῦ πρώτου P.

apud Jordanem fluvium annuntians in medio ipsorum adesse Christum Dei. Ipse autem Jesus Christus Dei filius postquam in Bethleem Judaeae natus est, cum complesset annum trigesimum, venit a Galilaea Hierusalem ad Joannem, et ab illo baptizatus est. Tertia decima deinde die XXXI. anni suae aetatis, Christus verus Deus noster die VI. baptizatus est, sicut dictum est, mense Audinaeo, quemadmodum recte eodem die sacra Lumina, seu Epiphania, magni Dei et Servatoris nostri Jesu Christi celebrat Catholica et Apostolica Ecclesia in suiipsius et XII. Apostolorum suorum figura.

Anno igitur mundi conditi V. MDVII. uti supra expositum est, et XL. Augusti Caesaris imperii, seu XXVIII. monarchiae ipsius, natus est secundum carnem Christus verus Deus noster. Hoc autem praesente V. MDXXXVI. anno, ipse Dominus et Deus noster Jesus Christus baptizatus est in Jordane, sub annum quinquagesimum trigesimi quarti Jubilaei, ex quo distributio haereditatis filiorum Israel facta est. Quippe post annos L. ex quo terram promissionis ingressi sunt filii Israel, remissionem fieri sanxit lex divina, quam coeperunt numerare ab octogesimo primo anno Moysis, post exactos nempe CCCCXXX. annos promissionis a Deo factae

αὐτοῦ ἡλικίας γενομένης αὐτῷ ἀπὸ τοῦ θεοῦ ἐπαγγελίας τῆς ἐν Αἰγύπτῳ δουλείας ἕνεκα καὶ τῆς ἐκεῖθεν γενησομένης ἐλευθερίας τῶν υἱῶν Ἰσραήλ.

P 210 Καὶ εὐλογῶν ὁ Ἰωάννης τὰ ὕδατα εἶπεν, Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησεν, κύριος ἐπὶ ὑδάτων πολλῶν. ἐγένετο δὲ μετὰ τὸ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν, Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα.

Εἶτα γνῶναι βουλόμενοι καὶ ποία ἦν τῆς ἑβδομάδος ἡμέρα, ὅτε ὁ κύριος ἐβαπτίσθη, τίθεμεν τὰ ,εφλϛ' ἔτη· τούτοις προσ-
B τίθεμεν τὸ τέταρτον· γίνονται ,ϛϡκ'. ταῦτα παρὰ τὸν ζ'· ἑπτάκις ϡ' γίνονται ,ϛτ'· ἑπτάκις π' γίνονται φξ'· ἑπτάκις ὀκτὼ γίνονται νϛ'· λοιπὸν δ' ἐπακταί. ταύταις προσάπτομεν τὰς ἀπὸ τοῦ πρώτου μηνὸς νισὰν ἡμέρας ἕως αὐτῆς τῆς ἡμέρας ἐν ᾗ ὁ κύριος ἐβαπτίσθη. οὕτως ἔχεις ἐπακτὰς δ', ἀπριλίου λ', μαΐου λα', ἰουνίου λ', ἰουλίου λα', αὐγούστου λα', σεπτεμβρίου λ', ὀκτωβρίου λα', νοεμβρίου λ', δεκεμβρίου λα', ἰανουαρίου ϛ'· γίνονται σπε'. ταύτας παρὰ τὸν ζ'· ἑπτάκις μ' γίνονται σπ'· λοιπὸν ε'.

C Ἔγνωμεν οὖν ὡς ἐν πέμπτῃ τῆς ἑβδομάδος ἡμέρᾳ ἐβαπτί-

5. τῆς om. P. *ib.* τῶν ὑδάτων P 15. ἐπακταὶ uncis includit P sola, tacente V. 17. ἐπακτὰς uncis includit P. 20. ταύτας] (ταύτας εἰς ζ') praeponit R, ταῦταί εἰσιν ζ' P.

Abraham, cum annum is ageret LXXV. propter servitutem in Aegypto, et ibidem futuram liberationem filiorum Israel.

Et Joannes benedicens aquas, dixit: *Vox Domini super aquas, Deus gloriae intonuit, Dominus super aquas multas.* Factum est autem, postquam universus populus baptizatus est, ut Jesu baptizato, ipsoque precante, coelum aperiretur et super eum descenderet Spiritus sanctus forma corporea, veluti columba, et vox de coelo fieret, dicens: *Tu es filius meus dilectus, in te mihi complacui.*

Porro si nosse velimus, quis fuerit hebdomadis dies quando Dominus baptizatus est, ponimus V. MDXXXVI. annos: his addimus quartam partem: prodeunt VI MDCCCCXX. hos per VII. dividimus, septies DCCCC. faciunt VI. MCCC. septies LXXX. producunt DLX. septies VIII. generant LVI. relinquuntur IV. quibus addimus illos a die primi mensis Nisan, usque ad diem quo Dominus baptizatus est.

Hac ratione habes epactas IV. Aprilis XXX. Maii XXXI. Junii XXX. Julii XXXI. Augusti XXXI. Septembris XXX. Octobris XXXI. Novembris XXX. Decembris XXXI. Januarii VI. fiunt CCLXXXV. hae sunt VII. has divide per VII. septies XL. efficiunt CCLXXX. reliqua sunt V.

Intelligimus ergo quinto hebdomadis die baptizatum fuisse Christum

σθη ὁ Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ἐν τῷ Ἰορδάνῃ ποταμῷ,
καθ' ἣν πέμπτην ἡμέραν ἐν ἀρχῇ τῆς τοῦ κόσμου γενέσεως αὐτὸς
ὁ τῶν ἁπάντων δεσπότης καὶ δημιουργὸς προσέταξεν ἐξαγαγεῖν τὰ
ὕδατα, ἑρπετὰ ψυχῶν ζωσῶν, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων,
ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐβαπτίσθη ἐν ὕδατι καὶ ἡγίασεν τὸ ὕδωρ καὶ
σωτήριον αὐτὸ καὶ ζωοποιὸν ἡμῖν ἀπειργάσατο. μετὰ δὲ τὸ βα-
πτισθῆναι ἀνήχθη ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον πειρασθῆ- V 169
ναι ὑπὸ τοῦ διαβόλου, ὡς ἱστορεῖ τὰ θεῖα εὐαγγέλια, καὶ νηστεύ-
σας ἡμέρας μ' καὶ νύκτας μ', καὶ πειρασθεὶς ὑπὸ τοῦ διαβόλου,
καὶ νικήσας τὸν πειράζοντα, παρεγένετο εἰς τὴν Γαλιλαίαν, κη- D
ρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ καλέσας τοὺς μαθητὰς
πιστεύσαντας καὶ δεξαμένους τὸ κήρυγμα τῆς εὐσεβείας ἀνῆλθε
μετ' αὐτῶν εἰς Ἱεροσόλυμα ἑορτάσαι τὸ νομικὸν πάσχα.

Εἶτα θέλοντες γνῶναι πόστη τοῦ μηνὸς ἔφθασεν κατὰ τὸ R 500
παρὸν ͵εφλζ' ἔτος, ἀρχὴν εἰληφὸς ἀπὸ κα' τοῦ μαρτίου μηνός,
ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, τὰ ͵εφλς' ποιοῦμεν παρὰ
τὸν ιθ'· ιθ' σ' γίνονται γω'· ιθ' ϟ γίνονται ͵αψι'· ιθ' α' γίνον-
ται ιθ'· λοιπὸν ζ'· ταύτας ἐπὶ τὸν ια', γίνονται οζ'· ἔκβα β' λ'· P 211
γίνονται ξ'· λοιπὸν ιζ'· πρόσβαλε ταύταις ιγ' τὰς πρὸ τῶν φω-
στήρων, προσελήνους ζ, καὶ ζ' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου
μηνός, γίνονται μδ'· ἔκβα λ', λοιπὸν ιδ'. ἔφθασεν ἡ ιδ' τοῦ πρώ-
του μηνὸς τῆς σελήνης τῇ κζ' τοῦ μαρτίου μηνός.

3. πάντων R. 14. πόση P. 22. κζ'] ιζ' R.

verum Deum nostrum in Jordane fluvio: quo quidem die quinto, in mundi conditi exordio, ipse universorum Dominus et conditor praecepit aquis ut educerent reptilia animarum viventium, ipse vero in consummatione saeculorum hoc ipso die baptizatus est in aqua, et consecravit aquam, et salutarem illam et vivificam nobis effecit. Postquam autem est baptizatus, ductus est a spiritu in desertum ut tentaretur a diabolo, uti sacra narrant Evangelia: et cum jejunasset dies XL. et XL. noctes, et tentatus fuisset a diabolo, illo devicto, venit in Galilaeam, praedicans Evangelium regni (Dei), vocatisque discipulis credentibus, quique praedicationem pietatis receperant, ascendit cum iis Hierosolyma, ut legale Pascha celebraret.

Jam vero si velimus intelligere quota mensis hoc praesenti anno V. MDXXXVII. extiterit, initio a XXI. mensis Martii sumpto, XIV. primi mensis Lunae, V. MDXXXVI. facimus per XIX. et ducimus CC. in XIX. fiunt III. MDCCC. deinde XIX. XC. creant MDCCX. duc I. in XIX. reliqua sunt VII. rursum VII. duc in XI. fiunt LXXVII. abjice bis XXX. fiunt LX. reliqua sunt XVII. adjice his XIII. illas anteluminarium antelunares, et VII. a XXI. mensis Martii, fiunt XLIV. abjice XXX. relinquuntur XIV. proinde incidit XIV. mensis Lunae XXVII. mensis Martii.

Εἶτα θέλοντες γνῶναι καὶ ποίᾳ ἡμέρᾳ ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης, τοῖς ,εφλς' προστίθεμεν τὸ τέταρτον ,ατπδ'· γίνονται ,ϛϡκ'. ταύτας εἰς ζ'· ζ' ϡ' γίνονται ,ϛτ'· ζ' π' γίνονται φξ'· ζ' η' γίνονται νϛ'· λοιπὸν δ' ἐπακταί. ταύταις πρόσβαλε γ' τὰς πρὸ τῶν φωστήρων καὶ ζ' τὰς ἀπὸ κα' καὶ
B *αὐτῆς τοῦ μαρτίου μηνός, γίνονται ιδ'. ταύτας παρὰ τὸν ζ'· ἔκβα ζ', λοιπὸν ζ'. ἔγνωμεν οὖν ὡς κατὰ τὸ παρὸν ἔτος ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τῇ κζ' τοῦ μαρτίου μηνὸς καὶ ἐν σαββάτῳ. ἡ δὲ ιε' τοῦ πρώτου μηνὸς τῆς σελήνης, ἣν πρώτην τῶν ἀζύμων ὁ θεῖος προσαγορεύει νόμος, ἔφθασεν ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, τουτέστιν κυριακῇ, ἥ ἐστιν ἡμέρα δευτέρα τοῦ σαββάτου· εἴωθεν γὰρ ἡ θεόπνευστος γραφὴ ἑκάστην ἡμέραν ἀνάπαυσιν ἔχουσαν σάββατον ὀνομάζειν. σάββατον οὖν καλεῖ οὐ μόνον τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης φθάσασαν ἐν σαββάτῳ, ἀλλὰ καὶ τὴν ιε' τοῦ πρώτου μηνὸς τῆς*
C *σελήνης, ἥτις ἐστὶν πρώτη τῶν ἀζύμων ἡμέρα, καὶ αὐτὴν ἐν ἡμέρᾳ πρώτῃ φθάσασαν, καὶ τὴν κα' τοῦ αὐτοῦ μηνός, ἥτις ἐστὶν ἑβδόμη μὲν ἡμέρα τῆς ἑορτῆς τῶν ἀζύμων, ἑβδόμη δὲ τῆς ἑβδομάδος ἡμέρα. τοῦτο οὖν τὸ πάσχα δηλῶσαί μοι δοκεῖ ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς, ἐν οἷς φησιν, Ἐγένετο ἐν σαββάτῳ δευτεροπρώτῳ διέρχεσθαι τὸν Ἰησοῦν καὶ τοὺς μαθητὰς αὐτοῦ διὰ τῶν σπορίμων, τοὺς δὲ μαθητὰς τίλλοντας τοὺς στάχυας ἐσθίειν.*

1. *ποία ἡμέρα* PV. 2. *τοῖς*] *τῆς* R. 4. *ἐπακταί* uncis inclusit P. 9. *καὶ* om. P. *ib.* *ιε'* post *μηνὸς* ponit P. 11. *ἐστι* P, *ιϛ'* RV. 13. *ἀνάπαυσιν* P. 14. *πρώτου* om. P. 20. *φησιν*] VI. 1.

Si velimus etiam nosse in qualem diem inciderit XIV. mensis Lunae, V. MDXXXVI. addimus quartam partem MCCCLXXXIV. fient VI. MDCCCCXX. has divide in VII. VII. in DCCCC. fient VI. MCCC. deinde VII. in XXC. fient DLX. rursum VII. in VIII. fient LVI. reliquae sunt epactae IV. his adde III. anteluminares, et VII. a XXI. mensis Martii, fient XIV. ab his praeter VII. abjice VII. remanebunt VII. Igitur colligimus hoc praesenti anno XIV. primi mensis Lunae XXVII. die Sabbato mensis Martii occurrere. Primi vero mensis XV. Lunae, quem primum Azymorum vocat lex divina, occurrit feria I. hebdomadis, hoc est Dominica, quae est dies II. a Sabbato: solet enim a Deo inspirata scriptura unumquemque diem feriatum Sabbatum appellare. Sabbatum igitur appellat, non modo XIV. mensis lunae sabbato occurrentem, sed etiam XV. primi mensis lunae, qui est primus Azymorum dies, illumque primo die occurrentem, et XXI. ejusdem mensis diem, qui est septimus Festi Azymorum, septimus vero hebdomadis dies. Illud porro Pascha indicasse mihi videtur divinus Evangelista Lucas, cum ait: *Factum est autem in Sabbato Secundo-primo cum Jesus transiret per sata cum Discipulis suis, qui vellebant spicas, ut manducarent.* Vocat autem Secundo-primum Sabbatum, non solum quod septi-

δευτερόπρωτον δὲ σάββατον καλεῖ τοῦτο τὸ σάββατον, οὐ μόνον ὡς
ἑβδόμης ἡμέρας οὔσης, ἐν ᾗ ἡ πρώτη τῶν ἀζύμων εὑρέθη, ἀλλὰ καὶ
διὰ τὸ ἀπ' αὐτῆς ἀριθμεῖν τὰς ν' ἡμέρας, καὶ ἑορτάζειν τὴν ἑορ-
τήν, ἣν ἑορτὴν τῶν ἑβδομάδων ὁ θεῖος προσαγορεύει νόμος. ἑπτὰ R 502
οὖν σαββάτων ὄντων ἐν τούτῳ τῷ ἔτει τῆς πεντηκοστῆς, ἅτε ἀπὸ D
σαββάτου ἀρχομένης καὶ εἰς σάββατον συμπληρουμένης, πρῶ-
τον ἦν σάββατον τῶν ἑπτὰ σαββάτων καὶ τελευταῖον πάλιν τοῦ
ὅλου ἀριθμοῦ· διὰ ταύτας τὰς αἰτίας ἐν τούτῳ τῷ πάσχα τὸν
κύριον μετὰ τῶν μαθητῶν διερχόμενον διὰ τῶν σπορίμων δηλῶ-
σαι βουλόμενος ὁ εὐαγγελιστὴς εἴρηκεν ὅτι ἐν σαββάτῳ δευτερο-
πρώτῳ διήρχετο διὰ τῶν σπορίμων ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ
αὐτοῦ.

Ὅτι δὲ ὁ θεῖος νόμος τὴν μὲν ιδ' τοῦ πρώτου μηνὸς τῆς
σελήνης πάσχα προσαγορεύει, τὴν δὲ ιε' πρώτην τῶν ἀζύμων καὶ V 170
σάββατον ὀνομάζει, πρὸς δέ γε καὶ τὴν ις' πρώτην τῆς πεντηκο-
στῆς ἡμέραν καλεῖ, διδάσκει σαφῶς ἡ θεόπνευστος γραφή. ἐν
γὰρ τῷ Λευιτικῷ γέγραπται ἐπὶ λέξεως οὕτως. „αὗται αἱ ἑορταὶ P 212
τῷ κυρίῳ κληταὶ ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν.
ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ ιδ' ἡμέρᾳ τοῦ μηνὸς ἀνὰ μέσον τῶν
ἑσπερινῶν πάσχα τῷ κυρίῳ. ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. καὶ
ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν
οὐ ποιήσετε, καὶ προσάξετε ὁλοκαυτώματα τῷ κυρίῳ ἑπτὰ ἡμέ-

2. ἡ om. P. 6. συμπληρουμένης πρῶτον ἦν σάββατον om. P. 17. Λευιτικῷ] XXIII. 4. 18. κληταὶ] καὶ αὗται PV. ib. καλέσετε] καλέσουσιν V. 19. μέσον] μέσων R. 22. ὁλοκαύτωμα P.

mus sit dies, quo primus Azymorum inventus est, sed etiam quod ab eo L. dies putarentur, festumque celebraretur: quod quidem festum lex divina Festum hebdomadum appellat. Cum ergo VII. Sabbata extent in hoc quinquagesimae anno, ut quae a Sabbato initium ducat, et in Sabbatum septem Sabbatorum rursum totius numeri finis desinat, eapropter hoc Paschate cum discipulis per sata transiisse Dominum volens indicare Evangelista, dixit, eum in Sabbato Secundo-primo cum discipulis suis per sata transiisse.

Quod vero divina lex XIV. primi mensis Lunae Pascha apellet, XV. autem, primum Azymorum, et Sabbatum vocet: praeterea XVI. primum quinquagesimae diem, diserte docet a Deo inspirata scriptura. Sic enim ad verbum scribitur in Levitico: *Hae sunt feriae Domini sanctae, quas vocabitis ipsas temporibus suis. Mense primo, quartadecima die mensis inter vespertina Phase Domino: septem diebus comedetis azyma. Et dies prima vocata sancta erit vobis. Omne opus servile non facietis, et offeretis sacrificium in igne Domino septem diebus. Et dies septima vocata sancta vobis erit. Omne opus servile non facietis.* Quando vero ingressi

ρας. καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. ὅταν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε τὸ δράγμα, ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν, πρὸς τὸν ἱερέα, καὶ B ἀνοίσει τὸ δράγμα ἔναντι κυρίου δεκτὸν ὑμῖν, καὶ τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτὸ ὁ ἱερεύς. καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῆς πρώτης τῶν σαββάτων ἀπὸ τῆς ἡμέρας, ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἀριθμήσεις ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος, ἀριθμήσετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ κυρίῳ, καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλητήν· ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ."

Εἴτε οὖν τὴν ιε' τῆς σελήνης, ὡς ἐν σαββάτῳ φθάσασαν, μετὰ τὸ θῦσαι τὸν ἀμνόν, δεύτερον ὠνόμασε σάββατον ὁ εὐαγ-
R 504 γελιστής, εἴτε ὡς πρώτην οὖσαν τῆς πεντηκοστῆς, ἤγουν τῶν
C ἑπτὰ τῆς ἐν τούτῳ τῷ ἔτει πεντηκοστῆς, πανταχόθεν φαίνεται ὅτι τὴν ἐν τούτῳ τῷ ἔτει τοῦ πάσχα ἑορτὴν δηλῶσαι βουλόμενος ὁ εὐαγγελιστὴς δευτερόπρωτον ὠνόμασε σάββατον. τοῦτο τὸ πάσχα ἐδήλωσεν καὶ ὁ θεολόγος καὶ εὐαγγελιστὴς Ἰωάννης μετὰ τὸ πρῶτον ἐν Κανᾷ τῆς Γαλιλαίας θαῦμα, ὅτε τὸ ὕδωρ οἶνος ἐγένετο, λέγων οὕτως, Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ

4. καὶ om. P. 6. τῆς ἐπαύριον] ἐπαύριον P. 13. εἶτα P. 17. τὴν om. P. ib. δηλῶσαι] διπλῶσαι PV. 19. καὶ prius om. P. ib. Ἰωάννης] II. 11.

fueritis terram, quam ego do vobis, et messueritis segetem ejus, et afferetis manipulum, primitias messis vestrae, ad Sacerdotem, et levabit fasciculum coram Domino ut acceptabile sit pro vobis. Et crastina a primo offeret illum Sacerdos. Et numerabitis vobis a postero die prima Sabbatorum, a die qua obtuleritis manipulum impositionis. Septem hebdomadas plenas numerabis usque ad crastinum ultimae hebdomadis, numerabitis quinquaginta dies, et offeretis sacrificium novum Domino, et vocabitis diem hanc vocatam: sancta erit vobis. Omne opus servile non facietis in ea.

Sive igitur xv. lunae, ut quae in Sabbatum incideret, post sacrificatum agnum, Secundum appellavit Sabbatum Evangelista; sive quod esset prima Quinquagesimae, seu vii. Sabbatorum quae hoc anno in Quinquagesima extitere, omnimodo apparet, cum eo ipso anno Paschatis festum duplicare voluisset Evangelista, Secundo-primum appellasse Sabbatum. Hocce Pascha indicavit Theologus et Evangelista Joannes, post primum in Cana Galilaeae miraculum, quando aquae vinum facta est, cum ita ait: *Hoc fecit initium signorum Jesus in Cana Galilaeae, et manifestavit gloriam suam*, et *crediderunt in eum discipuli ejus.* Post hoc

καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. μετὰ τοῦτο ἀνέβη εἰς Καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ ἔμειναν οὐ πολλὰς ἡμέρας, καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. D

Πρῶτον οὖν πάσχα νομικὸν ἑόρτασε σὺν τοῖς μαθηταῖς μετὰ τὸ βαπτισθῆναι ὁ κύριος ἐν τῷ ὀγδόῳ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κα' τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου, ὄντος ἀρχιερέως ἐν Ἱερουσαλὴμ Ἰσμαήλου τοῦ Βάφει.

Εἰσὶν δὲ τῶν μαθητῶν αἱ προσηγορίαι, ὧν ἐξελέξατο ὁ κύριος, οὕτως.

α'. Σίμων Πέτρος ὁ τῶν ἀποσότλων κορυφαῖος.
β'. Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ.
γ'. Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου.
δ'. Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς, ὁ εὐαγγελιστής. P 213
ε'. Φίλιππος.
ς'. Βαρθολομαῖος.
ζ'. Θωμᾶς.
η'. Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, ὁ ἀδελφὸς τοῦ κυρίου κατὰ σάρκα, ὁ ἐπικληθεὶς δίκαιος.
θ'. Ματθαῖος ὁ εὐαγγελιστής.

5. ἠόρτασε P. 6. ἐννεακαιδεκα] ιθ' P. 7. ὀκτωκαιεικοσα] η' καὶ κ' P. 10. ὁ om. P. 11. οὕτως] αὗται P. Conf. p. 27. B. 15. δ'] δ' καὶ V. ib. ὁ Ἰησοῦς] Ἰησοῦς P. ib. ὁ] ὃς PV. 20. ὁ ἀδελφὸς τοῦ] ἀδελφὸς P.

ascendit Capharnaum ipse et mater ejus, et discipuli ejus, et fratres ejus, et ibi manserunt non multos dies, et prope erat Pascha Judaeorum, et ascendit Jesus Hierosolymam.

Primum ergo Pascha legale cum Discipulis suis, postquam baptizatus est, celebravit Dominus, anno VIII. naturalis decemnovennalis cycli lunae, et XXI. naturalis vigintioctennalis cycli solis, cum summus esset Pontifex Hierosolymis Ismael Baphi.

Sunt autem discipulorum quos elegit Dominus nomina haec.

I. Simon Petrus, Apostolorum Princeps.
II. Andreas, frater Petri.
III. Jacobus, Zebedaei frater.
IV. Joannes, frater ejus, quem dilexit Jesus, qui fuit Evangelista.
V. Philippus.
VI. Bartholomaeus.
VII. Thomas.
VIII. Jacobus Alphaei, frater Domini secundum carnem, qui dictus est justus.

ι'. Θαδδαῖος ὁ καὶ Λεβαῖος, ὁ ἐπικληθεὶς Βαρσαβᾶς.

V 171 ια'. Σίμων ὁ Κανανίτης ὁ ἐπικληθεὶς Ἰούδας, Ἰακώβου.

B ιβ'. Ἰούδας Ἰσκαριώτης.

R 506 Τούτους τοὺς ιβ' μαθητὰς ἔχων ὁ κύριος τῶν λοιπῶν αὐτοῦ μαθητῶν κατά τι γέρας ἐξαίρετον ἀποστόλους ὠνόμασεν.

Καὶ αὖθις ἀναδείκνυσιν ἑτέρους ο', ὧντινων καὶ αὐτῶν αἱ προσηγορίαι εἰσὶν αὗται.

α'. Ματθίας, ὃν ἀνέδειξεν ὁ κύριος, ὁ καὶ συγκαταριθμηθεὶς μετὰ τῶν ια' ἀποστόλων μετὰ τὸ ἀναληφθῆναι τὸν κύριον ἀντὶ Ἰούδα τοῦ Ἰσκαριώτου, ὡς περιέχουσιν αἱ Πράξεις.

β'. Σωσθένης, οὗ μέμνηται Παῦλος Κορινθίοις ἐπιστέλλων.

C γ'. Κηφᾶς, ὁμώνυμος Πέτρου, ᾧ καὶ ἐμαχήσατο Παῦλος κατὰ ἰουδαϊσμοῦ.

δ'. Λίνος, οὗ μέμνηται Παῦλος Τιμοθέῳ γράφων.

ε'. Κλεωπᾶς, οὗ μέμνηται εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.

ς'. Ἀκύλας.

ζ'. Ἐπαίνετος.

η'. Ἀνδρόνικος.

θ'. Ἀμπλίας.

ι'. Οὐρβανός.

2. ὁ Κανανίτης] Κανανίτης P. 3. ιβ'] ιβ' καὶ V. 4. κύριος] Χριστὸς P. 7. εἰσὶν om. P. 9. ια'] ιβ' P sola. 13. Πέτρῳ P.

ix. Matthaeus Evangelista.
x. Thaddaeus, qui et Lebaeus, cognominatus Barsabas.
xi. Simon Cananites, dictus Judas, Jacobi F.
xii. Judas Iscariotes.

Hos xii. discipulos cum haberet Christus, hos prae caeteris suis Discipulis, singulari quadam praerogativa Apostolos nominavit.

Rursum alios lxx. designavit, quorum pariter haec sunt nomina.

i. Matthias, quem Dominus designavit, qui aliis xi. Apostolis annumeratus est, postquam Dominus est assumptus, loco Judae Iscariotae, ut Acta continent.

ii. Sosthenes, cujus meminit Paulus ad Corinthios scribens.

iii. Cephas, Petro cognominis, cum quo congressus est Paulus de Judaïsmo.

iv. Linus, cujus meminit Paulus ad Timotheum scribens.

v. Cleopas, cujus meminit Evangelium secundum Matthaeum.

vi. Aquilas.

vii. Epaenetus.

viii. Andronicus

ix. Amplias.

x. Urbanus.

ια΄. Στάχυς. D
ιβ΄. Ἀπελλῆς.
ιγ΄. Ἡρωδίων.
ιδ΄. Ἀριστόβουλος.
ιε΄. Νάρκισσος.
ις΄. Ῥοῦφος.
ιζ΄. Ἀσύγκριτος.
ιη΄. Φλέγων.
ιθ΄. Ἑρμᾶς.
κ΄. Πατροβᾶς.
κα΄. Ἑρμῆς.
κβ΄. Φιλόλογος.
κγ΄. Νηρεύς. P 21
κδ΄. Ὀλυμπᾶς.
κε΄. Λούκιος.
κς΄. Ἰάσων.
κζ΄. Σωσίπατρος.
κη΄. Τέρτιος.
κθ΄. Γάϊος.
λ΄. Ἔραστος.
λα΄. Κούαρτος, ὧν μέμνηται Παῦλος Ῥωμαίοις ἐπιστέλλων.

1. Νιρεύς V. 10. Πατρωβᾶς PV. 21. ὧν] οὗ P, ὃν V.

xi. Stachys.
xii. Apelles.
xiii. Herodion.
xiv. Aristobulus.
xv. Narcissus.
xvi. Rufus.
xvii. Asyncritus.
xviii. Phlegon.
xix. Hermas.
xx. Patrobas.
xxi. Hermes.
xxii. Philologus.
xxiii. Nereus.
xxiv. Olympas.
xxv. Lucius.
xxvi. Jason.
xxvii. Sosipater.
xxviii. Tertius.
xxix. Gaius.
xxx. Erastus.
xxxi. Quartus, cujus meminit Paulus ad Romanos scribens.

λβʹ. Ἀπολλῶς.

λγʹ. Στεφανᾶς.

B λδʹ. Φουρτουνᾶτος.

λεʹ. Ἀχαϊκός, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους αʹ ἐπιστολήν.

R 508 λςʹ. Τύχικος, οὗ μέμνηται Παῦλος Ἐφεσίοις γράφων.

λζʹ. Κλήμης, οὗ μέμνηται Παῦλος εἰς τὴν πρὸς Φιλιππησίους.

ληʹ. Ἐπαφρόδιτος.

λθʹ. Ὀνήσιμος.

μʹ. Ἀρίσταρχος.

μαʹ. Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος.

μβʹ. Δημᾶς.

C μγʹ. Νυμφᾶς.

V 172 μδʹ. Ἄρχιππος, ὧν μέμνηται Παῦλος εἰς τὴν πρὸς Κορινθίους.

μεʹ. Ὀνησίφορος.

μςʹ. Κρήσκης.

μζʹ. Ἔραστος.

μηʹ. Τρόφιμος.

μθʹ. Εὔβουλος.

2. *Στέφανος* P. 4. οὗ P, ὃν RV. 5. αʹ om. P. 6. οὗ P, ὃν V. 7. *Φιλιππισίους* P. 15. οὗ P, ὃν V *ibid.* τοὺς *Κορινθίους* P. Scribe *Κολοσσαεῖς* (IV. 15. 17.).

xxxii. Apollo.
xxxiii. Stephanus.
xxxiv. Fortunatus.
xxxv. Achaicus, cujus meminit Paulus in Epistola ad Corinthios.
xxxvi. Tychicus, cujus meminit Paulus ad Ephesios scribens.
xxxvii. Clemens, cujus meminit Paulus in Epistola ad Philippenses.
xxxviii. Epaphroditus.
xxxix. Onesimus.
xl. Aristarchus.
xli. Jesus, dictus Justus.
xlii. Demas.
xliii. Nymphas.
xliv. Archippus, cujus meminit Paulus in Epistola ad Corinthios
xlv. Onesiphorus.
xlvi. Crescens.
xlvii. Erastus.
xlviii. Trophimus.
xlix. Eubulus.
l. Pudens, cujus meminit Paulus in Epistola secunda ad Timotheum.

ν'. Πούδης, ὃν μνημονεύει Παῦλος εἰς τὴν πρὸς Τιμόθεον β' ἐπιστολήν.

να'. Ἀρτεμᾶς.

νβ'. Τύχικος.

νγ'. Ζηνᾶς ὁ νομικός, ὥντινων εἰς τὴν πρὸς Τίτον ἐπιστολὴν Παῦλος ἐμνημόνευσεν. D

νδ'. Φιλήμων.

νε'. Ἐπαφρᾶς.

νς'. Δημᾶς, ὥντινων καὶ αὐτῶν εἰς τὴν πρὸς Φιλήμονα Παῦλος ἐπεμνήσθη.

Τοὺς δὲ λοιποὺς ιδ' εὑρίσκεις ἅμα Παύλῳ συνανειλημμένους μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου.

Ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ,βσξβ'.

Ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὴν ἔξοδον ἔτη ,αφοε'.

Ἀπὸ τῆς διὰ Μωϋσέως ἐξ Αἰγύπτου πορείας ἐπὶ τὴν πρώτην οἰκοδομὴν τοῦ ναοῦ, ἥτις ἀρχὴν ἔλαβε μετὰ τὸ τρίτον ἔτος Σολομῶνος, ἔτη χιδ'. P 215

Ἀπὸ τετάρτου ἔτους Σολομῶνος, ἤγουν τῆς πρώτης ἐπισκευῆς τοῦ ναοῦ ἐπὶ Κῦρον βασιλέα Περσῶν ἔτη υπ' καὶ μῆνες γ'.

Ἀπὸ Κύρου βασιλέως Περσῶν ἐπὶ Ἀλέξανδρον Μακεδόνα ἔτη σμη' καὶ μῆνες θ'.

Ἀπὸ Ἀλεξάνδρου Μακεδόνος ἕως τοῦ παρόντος ιε' ἔτους

1. ὃν] ὧν PV. 6. ὁ Παῦλος P. 11. συνανειλημμένους P, συναλειλημμένους R, συνειλημμένους m. R. 14. ἔτη om. P.

LI. Artemas.

LII. Tychicus.

LIII. Zenas, Jurisperitus: quorum Paulus meminit in Epistola ad Titum.

LIV. Philemon.

LV. Epaphras.

LVI. Demas, quorum meminit Paulus in Epistola ad Philemonem.

Reliquos XIV. invenies comprehensos una cum Paulo post Domini in coelum ascensum.

Ab Adam usque ad diluvium, anni μι. MCCLXII.

A diluvio usque ad exitum ex Aegypto, MDLXXV.

A profectione duce Moyse ex Aegypto usque ad primam templi aedificationem, quae post tertium annum Solomonis coepta est, anni DCXIV.

A quarto anno Solomonis, sive prima aedificatione templi, usque ad Cyrum Persarum Regem, an. CCCCLXXX. et menses III.

A Cyro Persarum Rege usque ad Alexandrum Macedonem, anni CCXLVIII. et menses IX.

Ἐπειδὴ γὰρ ἐπίσημον καὶ ἐξαίρετον καὶ πρώτην ἑορτὴν Ἰουδαῖοι τὴν τοῦ πάσχα εἶχον, διὰ τοῦτο ὁ εὐαγγελιστὴς ποτὲ μὲν μετὰ προσδιορισμοῦ ταύτης μέμνηται, λέγων, Ἐγγὺς ἦν τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων, ποτὲ δὲ ἀπροσδιορίστως γράφων, Ἦν ἑορτὴ τῶν Ἰουδαίων.

Τὸ β′ τοίνυν πάσχα δοκεῖ μοι σημαίνειν ἐνταῦθα εἰπών, Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔνθα γὰρ ἑτέρας μνημονεύει τῶν Ἰουδαίων ἑορτῆς, μετὰ προσδιορισμοῦ πάντως ταύτης μέμνηται, ὥσπερ καὶ τῆς ἑορτῆς τῶν σκηνοπηγιῶν, λέγων, Καὶ ἦν ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰου-
C δαίων ἡ σκηνοπηγία, ὄντος ἀρχιερέως Ἐλεαζάρου υἱοῦ Ἀνάνου.

Ἰνδ. γ′. ιζ′. ὑπ. Τιβερίου Καίσαρος τὸ ε′ μόνου.

Πάλιν τρίτον νομικὸν πάσχα μετὰ τὸ βαπτισθῆναι ἑορτάζει ὁ κύριος ἐν τῷ ι′ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ κγ′ τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου. καὶ θέλοντες γνῶναι πόστη τοῦ μηνὸς ἔφθασεν κατὰ τὸ παρὸν ͵εφλθ′ ἔτος ἀρξάμενον ἀπὸ κα′ καὶ αὐτῆς τοῦ μαρτίου μηνός, εὑρίσκομεν κατὰ τὸ δέκατον ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος ἐπακτὺς τῆς σελήνης θ′, ταύταις συνάπτομεν τὰς πρὸ τῶν φωστήρων ιγ′, προσελήνους ζ′, καὶ ια′ τὰς ἀπὸ κα′ τοῦ μαρτίου μηνὸς καὶ ἀπριλίου δ′· γίνονται μδ′. ἔκβα λ′· λοιπὸν
D ιδ′. ἰδοὺ ἔφθασεν ἡ ιδ′ τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ

3. λέγων] VI. 4. 6. εἰπών] V. 1. 10. λέγων] VII. 2. 11. Ἀνανίου P. 14. 18. ιθ′ ετηρίδος P. 15. η′ καὶ κ′ ετηρίδος P. 16. κατὰ — ἀρξάμενον om. P. 21. ἔκβα] ἔκβαλε PV.

Anni a m. c. Cum igitur pro celebri et singulari, ac primario festo Pascha apud Judaeos haberetur, ideo Evangelista quidem interdum illius praecise meminit, dum ait: *Prope erat Pascha festum Judaeorum.* Interdum etiam generatim, ut cum scribit: *Erat festum Judaeorum.*

Secundum ergo Pascha is videtur mihi significare, cum hoc loco dicit: *Post haec erat festum Judaeorum, et ascendit Jesus Hierosolymam.* Ubi enim Judaeorum festi alterius meminit, semper illud designat nominatim, ut cum de festo Scenopegiorum loquitur: *Et erat prope festum Judaeorum*, cum Eleazarus, Ananiae filius, esset Pontifex.

A. C. [Ol. Iph.]

5538. 31. XVII. Ind. III. Tiberio Caesare V. Cos. 3.

Rursus tertium legale Pascha post baptismum peregit Dominus anno X. naturalis decemnovennalis cycli lunae, et XXIII. naturalis vigintioctennalis cycli solis. Si velimus nosse quota mensis occurrit a XXI mensis Martii, reperiemus incidisse in X. annum naturalis decemnovennalis cycli epactas lunae IX. His adjungimus anteluminares XIII. antelunares VII. et XI. ab XXI. Martii mensis, et IV. Aprilis: fiuntque XLIV. abjice XXX. relinquuntur XIV. ecce occurrit XIV. primi mensis lunae hoc praesenti

παρὸν ἔτος τῇ δ' τοῦ ἀπριλίου μηνός. εἶτα καὶ τὴν ἡμέραν γνῶ-
ναι βουλόμενοι ἐν ᾗ ἔφθασεν αὐτή, εὑρίσκομεν κατὰ τὸ κγ' ἔτος
τῆς ὀκτωκαιεικοσαετηρίδος ἐπακτὰς ς'. ταύταις προστίθεμεν τὰς
πρὸ τῶν φωστήρων γ' καὶ ια' τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου,
δ' ἀπριλίου· γίνονται κδ'. ταύτας παρὰ τὸν ζ'· ζ' γ' γίνονται
κα'· λοιπὸν γ'. ἔγνωμεν οὖν ὅτι ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς R 514
σελήνης, ἐν ᾗ τὸ νομικὸν ἐπιτελεῖσθαι προστέτακται πάσχα, κα-
τὰ τὸ παρὸν ͵εφλθ' ἔτος ἔφθασεν τῇ δ' τοῦ ἀπριλίου μηνὸς καὶ
ἐν ἡμέρᾳ γ'.

Τοῦτο τὸ τρίτον πάσχα σημαίνων ὁ θεῖος εὐαγγελιστὴς Ἰω- P 217
άννης, μέλλων τὸ θαῦμα διηγεῖσθαι, ὃ ἐποίησεν ὁ κύριος ἐκ
πέντε ἄρτων πεντακισχιλίους ἄνδρας κορέσας, λέγει, Μετὰ ταῦ- V 174
τα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τι-
βεριάδος, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων τὰ ση-
μεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνέβη δὲ εἰς τὸ ὄρος ὁ Ἰη-
σοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς
τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ λώῳ κθ' ὁ ἅγιος Ἰωάννης ὁ πρό-
δρομος καὶ βαπτιστὴς τὴν κεφαλὴν ἀποτέμνεται ὑπὸ Ἡρώδου τοῦ
βασιλέως τῆς Ἰουδαίας, υἱοῦ ὄντος τοῦ πρώτου Ἡρώδου, ἀδελ-
φοῦ Ἀρχελάου, δέσμιος εἰς τὸν Μαχαιροῦντα φρούριον πεμφθεὶς B
διὰ Ἡρωδιάδα, περὶ οὗ μνημονεύει ἡ θεία τῶν εὐαγγελίων γρα-

2. ἐν om. P. 3. η' καὶ κ' ετηρίδος P. 4. Μαρτίου μηνὸς P. 5. τὸν | τῶν RV. 8. ἔτος ͵εφλθ' P. 12. λέγει] VI. 1. 18. .Ιόῳ PV. 21. Μαχεροῦντα PV 22. γραφή] „Matth. XIV. Marc. VI. Luc. III." m. P.

anno IV. Aprilis mensis. Deinde si voluerimus diem nosse seu feriam, qua illa occurrit, invenimus XXIII. anno decemnovennalis cycli epactas VI. his addimus anteluminares III. et XI. hasque a XXI. mensis Martii, et IV. Aprilis, fiuntque XXIV. has per VII. dividimus, septem ter faciunt XXI. supersunt III. Colligimus ergo XIV. primi mensis lunae, qua legale Pascha peragi praecipitur, hoc praesenti anno V. MDXXXIX. in IV. Aprilis incidisse, et in feriam III.

Hoc tertium Pascha indicans divinus Evangelista Joannes, miraculum narraturus, quod fecit Dominus, cum quinque panibus quinque hominum millia saturavit, dicit: *Post haec abiit Jesus trans mare Galilaeae Tiberiadis, et secuta est eum turba multa, quia videbant signa quae faciebat super aegros. Ascendit autem in montem Jesus, et ibi sedebat cum discipulis suis. Erat autem prope Pascha, festum Judaeorum.*

Hoc anno, mense Loo, (Augusto) die XXIX. Sanctus Joannes Praecursor et Baptista capite truncatur ab Herode Rege Judaeae, primi Herodis filio, Archelai fratre: cum vinctus in Macheruntа castrum missus fuisset propter Herodiadem: de quo meminit sacra Evangeliorum scriptura. Narrat autem Josephus libro XVIII. Antiquitatum Judaicarum, ut

φή. ἱστορεῖ δὲ καὶ ὁ Ἰώσηππος ἐν ιη' τῆς Ἀρχαιολογίας αὐτοῦ βίβλῳ ὡς διὰ Ἡρωδιάδα, γυναῖκα οὖσαν Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἡρώδου, ὁ ἅγιος Ἰωάννης ἀποτέμνεται. ἀθετήσας γὰρ ἔτι ζῶσαν τὴν προτέραν αὐτοῦ γυναῖκα ὁ Ἡρώδης, κατὰ νόμους αὐτῷ γεγαμημένην, Ἀρέτα δὲ ἦν αὕτη τοῦ Πετραίων βασιλέως θυγάτηρ, τὴν δὲ Ἡρωδιάδα ἔτι ζῶντος διαστήσας τοῦ ἀνδρός, δι' ἣν καὶ τὸν Ἰωάννην ἀνεῖλεν, πόλεμον αἱρεῖται ὁ Ἀρέτας πρὸς τὸν Ἡρώδην, ὡς ἠτιμασμένης αὐτοῦ τῆς θυγατρός, ἐν ᾧ πολέμῳ πάντα φασὶ τὸν Ἡρώδου στρατὸν διαφθαρῆναι, καὶ
C *ταῦτα πεπονθέναι τῆς ἐπιβουλῆς ἕνεκα τῆς γενομένης κατὰ τοῦ Ἰωάννου. ὁ δὲ αὐτὸς Ἰώσηππος ἱστορεῖ τῆς βασιλείας ἀποπεπτωκέναι τὸν Ἡρώδην διὰ Ἡρωδιάδα· μεθ' ἧς αὐτὸν καὶ εἰς τὴν ὑπερόριον ἀπεληλάσθαι, Λουγδόνον τῆς Σπανίας πόλιν οἰκεῖν καταδικασθέντα, ὄντος ἀρχιερέως ἐν Ἱερουσαλὴμ Σίμωνος τοῦ Καμαθεὶ υἱοῦ.*

Ἰνδ. δ'. ιη'. ὑπ. Περσικοῦ καὶ Βετελλίου.

R 516 *Ἰησοῦς ὁ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς τρεῖς ἐνιαυτοὺς καὶ ος' ἡμέρας μετὰ τὸ βάπτισμα τοῖς ἑαυτοῦ μαθηταῖς τὰ σωτήρια καὶ*
D *ἐπουράνια μαθήματα παραδοὺς καὶ τὰς περὶ ἑαυτοῦ προφητείας ἐπὶ τὸ πάθος παρῄει τῷ ιθ' ἔτει τῆς Τιβερίου μοναρχίας, ἀρχὴν εἰληφότι τῇ κα' τοῦ μαρτίου μηνὸς τῆς ἐνισταμένης δ' ἰνδικτιῶ-*

1. ὁ om. P. 2. τοῦ om. P. 5. *Πιτραίων* PV. 6. *Ἡρωδιάδαν* V. 11. *Ἰώσηππος*] Arch. XVIII. 5. 12. *τὴν Ἡρωδιάδα* P. 13. *ὑπερορίαν* P. 14. *Ἱεροσολύμοις* P. 16. *Βιτελλίου* P sola. 17. *ὁ Χριστὸς*] *Χριστὸς* P. 20. *παρίει* P. 21. *τῇ* P, *τὴν* RV.

Anniam. c. propter Herodiadem, uxorem Philippi fratris Herodis, capite truncatus fuerit Sanctus Joannes. Dimiserat enim Herodes adhuc superstitem priorem uxorem suam, legitimis sibi nuptiis copulatam: erat autem illa Aretae Petraeorum Regis filia. Herodiadem porro a conjuge adhuc in vivis divulsit, ob quam Joannem sustulit. Herodi vero bellum intulit Aretas, ob injuriam filiae illatam, quo in bello universum Herodis exercitum profligatum, idque ob structas Joanni insidias esse passum aiunt. Idem denique Josephus refert ob Herodiadem regno excidisse Herodem, illumque cum ea relegatum, Lugduni Hispaniae urbe habitare jussum, cum summus esset Pontifex Simon Camathi filius.

A. C. [Ol. Iph.]

5539. 32. XVIII. Ind. IV. Persico et Vitellio Coss. 2. 203.

Jesus Christus, Dei filius, cum annis III. et diebus LXXVI. post baptismum discipulis suis salutaria et coelestia praecepta, editasque de se prophetias tradidisset, ad passionem transiit, Imperii Tiberii anno XIX. initium sumente a Martii mensis XXI. praesente IV. Indictione, et anno XI. naturalis decemnovennalis cycli lunae, et XXIV. anno naturalis vigintioctennalis cycli solis.

νος καὶ ιαʹ ἔτει τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος τῆς σελή-
νης καὶ κδʹ ἔτει τῆς κατὰ φύσιν ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου.

Τοῦτο δὲ τὸ δʹ πάσχα ἐστίν, ἐν ᾧ πέπονθεν ὑπὲρ ἡμῶν
Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν. τοῦτο τὸ πάσχα δηλῶν ὁ εὐαγ-
γελιστὴς Ἰωάννης μετὰ τὸ θαῦμα ὃ ἐποίησεν ὁ κύριος ἐγείρας
τὸν Λάζαρον ἐκ νεκρῶν, εἴρηκεν οὕτως, Ἀπ' ἐκείνης οὖν τῆς
ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς οὖν P 218
οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν
ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραῒμ λεγομένην
πόλιν, κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς
τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ
τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν
οὖν τὸν Ἰησοῦν, καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες,
Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; δεδώκεισαν δὲ οἱ
ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῷ ποῦ ἐστιν,
μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν. ὁ οὖν Ἰησοῦς πρὸ ϛʹ ἡμερῶν B
τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς,
ὃν ἤγειρεν ἐκ νεκρῶν. εἶτα οἱ μακάριοι τοῦ κυρίου μαθηταὶ ἠρώ-
τησαν αὐτὸν λέγοντες ὅτι Ἰδοὺ μετὰ δύο ἡμέρας τὸ πάσχα γίνε-
ται· ποῦ οὖν θέλεις ἑτοιμάσωμέν σοι; δῆλον οὖν ὅτι οὐ κατὰ V 175
τὸν αὐτὸν χρόνον, ἀλλὰ μέλλοντος ἔσεσθαι τοῦ πάσχα μετὰ δύο
ἡμέρας. ὅτι δὲ οὐ κατὰ τὴν ιδʹ ἐπετέλεσεν τὸ πάσχα, ἀλλὰ πρὸ

1. ιθʹ ετηρίδος P. 2. ηʹ καὶ κʹ ετηρίδος P. 4. ὁ κύριος ἀληθινὸς P sola. 5. ὁ om. P. 6. οὕτως] XI. 53. ib. τῆς om. R. 21. ἔδεσθαι P. 22. ἐτέλεσεν R.

Hoc est autem quartum Pascha, quo passus est pro nobis Christus Dominus verus Deus noster. Istud Pascha indicans Evangelista Joannes, post miraculum quod fecit Dominus cum Lazarum a mortuis excitavit, sic dixit: *Ab illo ergo die cogitaverunt quomodo interficerent eum. Jesus ergo jam non palam ambulabat apud Judaeos, sed abiit illinc in regionem juxta desertum, in civitatem quae dicitur Ephrem, et ibi morabatur cum Discipulis suis. Erat autem prope Pascha Judaeorum, et ascenderunt multi Hierosolymam de regione ante Pascha, ut sanctificarent seipsos. Quaerebant ergo Jesum, et colloquebantur ad invicem in templo stantes: Quid vobis videtur, quia non venit ad diem festum? Dederunt autem Pontifices et Pharisaei mandatum, ut si quis cognoverit ubi sit, indicet, ut apprehendant eum. Jesus ergo ante sex dies Paschae venit Bethaniam, ubi Lazarus fuerat mortuus, quem suscitavit ex mortuis.* Deinde beati Domini discipuli interrogaverunt ipsum, dicentes: *Ecce post biduum Pascha fit, ubi vis ergo ut paremus tibi?* Patet igitur non eodem tempore Pascha peregisse, cum Pascha manducandum esset post duos dies. Quod vero XIV. non celebravit Pascha, sed prius typicam peregit coenam, quando sanctificatio Azymorum, et festi praeparatio age-

τούτου τὸ τυπικὸν ἐτέλεσεν δεῖπνον, ὅτε καὶ ὁ ἁγιασμὸς τῶν ἀζύμων καὶ ἡ προετοιμασία τῆς ἑορτῆς ἐγίνετο, εὑρίσκεται τοῖς μαθηταῖς μεταδιδοὺς οὐ θύματος οὐδὲ ἀζύμων, ἀλλ' ἄρτου καὶ ποτηρίου· ὅτε καὶ τῶν μαθητῶν ἀπένιψεν τοὺς πόδας, καθὰ τὰ C θεόπνευστα διδάσκει λόγια, ὅπερ οὐ κατὰ τὴν Μωσαϊκὴν πρόσταξιν ἐπετελεῖτο. εἰ γὰρ μὴ αὐτὸς ἐγίνετο ἀντὶ τοῦ ἀμνοῦ τοῦ R 518 κατὰ τύπον καὶ σκιὰν θύματος τοῦ πάλαι παρὰ Μωϋσέως προσταχθέντος θύεσθαι τοῖς εἰς ὕστερον θῦμα, οὐκ ἂν παρῆλθεν τὰ τοῦ Ἰσραὴλ νόμιμα, ἀλλ' εἶχεν ἂν καὶ πρόβατον θύσασθαι καὶ μεταδοῦναι τοῖς μαθηταῖς, καθὰ καὶ εἰς τοὺς πρότερον ἐποιεῖτο χρόνους, εἰ μὴ ἐπέστη ὁ καιρὸς τῆς συμπληρώσεως τοῦ κατ' αὐτῶν μυστηρίου, καὶ παύσας τὸν τυπικὸν ἀμνὸν τῇ κβ' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, αὐτῇ τῇ ἡμέρᾳ σελήνης ἐχούσης ιγ' ὥρᾳ νυκτερινῇ ε' τῇ ἐπιφωσκούσῃ εἰς εἰκάδα τετάρτην, ὄντος Ἡρώδου τοῦ τετράρχου βασιλέως, ὡς δηλοῖ Λουκᾶς ὁ εὐαγγελι- D στής. ἀποθανόντος γὰρ Ἡρώδου τοῦ τὰ νήπια ἀνελόντος ἡ τούτου μετέπεσεν ἀρχὴ εἰς τοὺς υἱοὺς αὐτοῦ, ὡς ἱστορεῖ Ἰώσηππος, καὶ γίνεται βασιλεὺς τῆς Ἰουδαίας Ἀρχέλαος, βασιλεύσας ἔτη θ'. καὶ μετὰ τὴν τούτου τελευτὴν Ἡρώδης ὁ τετράρχης, ἀδελφὸς αὐτοῦ, βασιλεύει τῆς Γαλιλαίας ἔτη κδ', ἕως τῆς τελευτῆς Τιβερίου. τῆς δὲ Ἰουδαίας Πόντιος Πιλᾶτος ἦν βασιλεύς. Πόντιος δὲ Πιλᾶτος κατὰ τοῦτο ἐπικέκληται, καθότι νῆσός ἐστιν κατὰ θάλασσαν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην καλουμένη Πόντος, ἐξ

13. αὐτῇ δὲ τῇ P. ib. τῆς σελήνης P. 15. τοῦ om. R. ib. Λουκᾶς] XXIII. 17. Ἰώσηππος] Arch. XVII. 8. 23. καλουμένην P.

batur, inde colligitur neque discipulis tradidisse incensum, neque Azyma, sed panem et calicem, quando etiam discipulorum pedes lavit, quemadmodum a Deo inspirata docent oracula, quod quidem ex praecepto Mosaïco non agebatur. Etenim si ille non fuisset loco agni typici et sacrificii, cum olim a Moyse praescriptum esset iis qui venturi erant, ut hostiam immolarent, minime transgressus fuisset leges Israel, sed ovem sacrificasset, et discipulis communicasset, quemadmodum prioribus annis fecerat, nisi horum mysterii explendi tempus adfuisset, quo scilicet agnus typicus desiit, secundum Romanos Martii mensis XXII. ipso vero die lunae habentis XIII. hora nocturna V. illucescente in XXIV. regnante Herode Tetrarcha, ut indicat Lucas Evangelista Extincto enim Herode, qui infantes sustulerat, in ejus filios regnum est devolutum, ut narrat Josephus, factusque est Rex Judaeae Archelaus qui annos IX. regnavit. Post illius vero mortem, Herodes Tetrarcha ejus frater regnavit in Galilaea annos XXIV. usque ad mortem Tiberii. Porro Judaeae Pontius Pilatus imperabat. Pontius autem appellatus est Pilatus, ab insula maritima versus Romam veterem, quae Pontus nuncupatur, ex qua Pilatus prodiit, isque a patria Pontius Pilatus vocatus est.

ἧς ὁ Πιλᾶτος ὥρμητο, καὶ ὡς ἀπὸ τῆς πατρίδος Πόντιος Πιλᾶτος ἐχρημάτισεν.

Οὗτος Πόντιος Πιλᾶτος ἀνέκρινε τὸν κύριον· καὶ μαθὼν P 219
ὅτι ἀπὸ τῆς ἐξουσίας ἐστὶν Ἡρώδου, τουτέστιν ἀπὸ τῆς Γαλιλαίας, ὡς φησιν ὁ εὐαγγελιστὴς Ματθαῖος, ἀνέπεμψεν αὐτὸν τῷ Ἡρώδῃ, καὶ πάλιν Ἡρώδης ἔπεμψεν τῷ Πιλάτῳ. κἀκεῖνος πάλιν ἀνέπεμψεν αὐτὸν πρὸς Ἄνναν· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα. καὶ οὗτος Καϊάφας, ὡς ὢν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ τούτου, συνεβούλευσεν τοῖς Ἰουδαίοις λέγων ὅτι Συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. εἶτα πάλιν Ἄννας ἀπέστειλεν τὸν Ἰησοῦν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ πρωΐ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς πραιτώριον, ἵνα μὴ μιανθῶ- B
σιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα· κἀκεῖθεν παρεδόθη τῷ Πιλάτῳ. ἦν δὲ παρασκευή· ὥρα ἦν ὡσεὶ τρίτη, καθὼς τὰ ἀκριβῆ βιβλία περιέχει, αὐτό τε τὸ ἰδιόχειρον τοῦ εὐαγγελιστοῦ Ἰωάν- R 520
νου, ὅπερ μέχρι νῦν πεφύλακται χάριτι θεοῦ ἐν τῇ Ἐφεσίων ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖσε προσκυνεῖται.

Καὶ εὐθέως ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλωσεν αὐτῷ, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ διὰ αὐτόν. καὶ γνόντες τοῦτο οἱ Ἰουδαῖοι ἐστασίαζον, κράζοντες, Ἆρον ἆρον, σταύρωσον αὐτόν. καὶ εἰσαγαγὼν τὸ ἀλη-

1. Πόντιος Πιλᾶτος ἐχρημάτισεν om. R. 5. Ματθαῖος] Immo Lucas I. 5. 6. ἀνέπεμψεν P. 11. πρὸς τὸν Κ. P. 17. τοῦ θεοῦ P. 20. κατὸν ἀρδι V, κατὰ τὸν ἄνδρα P. 22. τὸ] δὲ P, om. R.

Hic Pontius Pilatus de Domino cognovit, quem cum intellexisset esse ex Herodis ditione, ex Galilaea scilicet, ut ait Evangelista Matthaeus, hunc misit ad Herodem, Herodes vero remisit ad Pilatum, ille vero ad Annam: erat enim socer Caïphae. Hic Caïphas, utpote Pontifex anni illius, conspiravit cum Judaeis, dicens: *Expedit unum hominem mori pro populo.* Deinde Annas misit Jesum vinctum ad Caïpham Pontificem. Ducunt ergo Jesum a Caïpha in Praetorium. Erat autem mane, et ipsi non introierunt in Praetorium, ut non contaminarentur, sed ut manducarent Pascha, et illic traditus est Pilato. Erat autem Parasceve, hora quasi tertia, quemadmodum accurati libri continent, ipsumque Evangelistae Joannis autographum, quod usque ad haecce tempora, divina gratia, in sanctissima Ephesiorum Ecclesia servatur, et a fidelibus ibi colitur.

Et statim uxor Pilati nunciavit illi: *Nihil tibi et justo illi, multa enim passa sum hodie per visum propter eum.* Hisce perceptis, Judaei, seditione excitata, clamarunt, *Tolle, tolle, crucifige eum.* Ac introducto

C θινὸν πάσχα κατὰ τὰς θείας γραφὰς αὐτὸς πάσχει ὑπὲρ ἡμῶν τῇ ς′ τῆς ἑβδομάδος ἡμέρᾳ, καὶ θύεται, ὡς ἀμνὸς ἀληθὴς ὑπάρχων καὶ πάσχα ἀληθινὸν ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστός. καὶ ἐσκοτίσθη ὁ ἥλιος εἰς ὅλον τὸν κόσμον ἀπὸ ἕκτης
V 176 ὥρας· περὶ οὗ σκότους μέμνηται καὶ Διονύσιος ὁ Ἀρειοπαγίτης ἐν τῇ πρὸς Πολύκαρπον ἐπιστολῇ τῆς κατὰ τόδε τὸ ἔτος γενομένης καινοπρεποῦς τοῦ ἡλίου ἐκλείψεως. καὶ οἱ ἔξωθεν δὲ τὸν ἐνιαυτὸν τοῦτον ἐπεσημήναντο ἀσφαλῶς, εἰπόντες καὶ τὸν γενόμενον σεισμόν, καὶ κατ᾽ ἐξαίρετον Φλέγων ὁ τὰς Ὀλυμπιάδας συναγαγών. λέγει γὰρ ἐν τῷ τρισκαιδεκάτῳ συγγράμματι οὕ-
D τως. „τῷ δὲ τετάρτῳ ἔτει τῆς σβ′ Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωσμένων πρότερον· καὶ νὺξ ὥρᾳ ς′ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο.“ ταῦτα ὁ δηλωθεὶς ἀνήρ, γνοὺς τὸ παράδοξον τῆς ἐκλείψεως τοῦ ἡλίου. οὔτε γὰρ ἠκούσθη οὐδὲ γέγονεν τοῖς ἔμπροσθεν αἰῶσιν περὶ τὴν πανσέληνον ἔκλειψις ἡλίου, ἐπειδὴ μηδὲ τῇ ἀστρῴᾳ τοῦτο συμβαίνει κινήσει. καὶ τῶν οὕτως ἐπισήμων καὶ ἀπίστοις ἐνιαυτῶν ἡμᾶς τοὺς πιστοὺς σφάλλεσθαι οὐ καλὸν οὐδὲ δίκαιον· δι᾽ ἡμᾶς γὰρ οὗτος ὁ ἐνιαυτός.
P 220 Περὶ ταύτης τῆς ἡμέρας προεφήτευσε Ζαχαρίας υἱὸς Ἰω-

3. καὶ θεὸς] ὁ θεὸς P. 4. ὁ Χ. R. ib. ἕκτης τῆς R. 5. Ἀρεοπαγίτης P. 6. τόδε om. P. 8. ἐπισημήναντο P. ib. σεισμὸν γενόμενον P. 11. σβ′] οβ′, supra scripto ab alia manu σ, V. 13. ὥστε] ὡς R. 14. τὰ — κατεστρέψατο om. R. 16. οὐδὲ] Fort. οὔτε: conf. ad Malal. p. 136. 18. 20. διὰ γὰρ ἡμᾶς P, διὰ ἡμᾶς γὰρ R.

vero Paschate, juxta sacras Scripturas, ipse pro nobis patitur VI. hebdomadis die, et immolatur, ut qui erat verus agnus, et verum Pascha, Dominus Deus noster Jesus Christus. Et obscuratus est sol per universum mundum a VI. hora. Quarum quidem tenebrarum meminit Dionysius Areopagita in Epistola ad Polycarpum, cum hoc anno insolita contigisset solis defectio. Sed et scriptores Pagani annum hunc diserte notant, scribuntque terrae motum extitisse, ac prae caeteris Phlegon qui Olympiades collegit: Sic enim ait in libro XIII. *Quarto autem anno Olympiadis CCII. facta est solis defectio maxima quanta nunquam antea contigisse legitur, noxque hora diei VI. tanta fuit, ut etiam astra in coelo apparerent, terraeque motus circa Bithyniam, magnam Nicaeae urbis partem evertit.* Haec supra laudatus vir, qui in hac solis defectione quidpiam extraordinarium observarat. Neque enim unquam id fuerat auditum, neque retro ante saeculis acciderat ut in plenilunio solis facta fuisset defectio, quandoquidem id juxta astrorum motus contingere nequit. Qui quidem anni cum ipsis gentilibus insignes adeo extiterint, nos fideles haud par, neque aequum est decipi, cum propter nos is annus acciderit.

δαὶ λέγων, Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν· καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.

Ὁ δὲ κύριος Ἰησοῦς Χριστὸς παρέδωκε τὸ πνεῦμα τῇ αὐ- R 522 *τῇ παρασκευῇ ὥραν ἐνάτην. καὶ εὐθέως ἐγένετο εἰς ἅπαντα τὸν κόσμον σεισμὸς μέγας καὶ τάφοι ἠνεῴχθησαν καὶ νεκροὶ ἀνέστησαν, καθὰ ταῖς θείαις ἐμφέρεται γραφαῖς· ὥστε λέγειν τοὺς Ἰουδαίους, Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος, ὃν ἡμεῖς ἐσταυρώσαμεν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τοῦ πάσχα συμφώνως καὶ οἱ λοιποὶ εὐαγγε-* B *λισταὶ σταυρωθῆναι τὸν κύριον δηλοῦσιν.*

Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου ὁμοίως τοῦ συσταυρωθέντος αὐτῷ. ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, τὰ δύο καθάρσια τοῦ τε βαπτίσματος C *καὶ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων. ἄλλως δὲ τὴν σωτήριον ταύτην ἐπιτελοῦμεν ἑορτὴν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, ἥτις τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὸ σταυρω-*

1. *λέγων*] XIV. 6. 2. *καὶ ἔσται μία ἡμέρα* P. 3. *οὐκ* V. 5. *ἐννάτην* P. ib. *τὸν* om. R. 13. *ἐκείνη* P. 20. *ἄλλως*] *ἀλλ' ὥστε* PV. 21. *σωτηρίαν* P, *σωτήριαν* R.

De hoc porro die prophetavit Zacharias filius Jodae, cum ait: *In illa die non erit lux, sed frigus et gelu, et erit dies una: et haec dies illa nota Domino, non dies neque nox, et in tempore vesperi erit lux.*

Dominus vero Jesus Christus animam edidit ipso die Parasceves, hora nona, et statim in universo mundo magnus terrae motus contigit, tumulique sunt aperti, ac mortui resurrexerunt, quemadmodum continetur in sacris Scripturis, ita ut Judaei dicerent: *Vere Dei filius erat iste, quem nos crucifiximus.* In ipso autem Paschatis festo, pari consensu, caeteri quoque Evangelistae Dominum fuisse crucifixum docent.

Judaei ergo ut non manerent in cruce corpora in Sabbato; quoniam Parasceve erat (erat enim magnus ille dies Sabbati), rogaverunt Pilatum, ut frangerentur eorum crura, et tollerentur. Venerunt ergo milites, et primi quidem crura fregerunt, et alterius perinde una cum illo crucifixi. Postquam autem venerunt ad Jesum, ut viderunt illum jam mortuum, non fregerunt crura ejus, sed unus militum lancea latus ejus aperuit, et continuo exivit sanguis et aqua, duo purgatoria, baptismi nempe, et intemeratorum mysteriorum participationis. Sed ut salutarem hunc diem festum peragamus, post illius ex mortuis resurrectionem, quae tertio postquam crucifixus est die contigit, secundum divinas scripturas, primi

*θῆναι κατὰ τὰς θείας γραφὰς ἐπιτελεῖται τῇ ιϛ' τοῦ πρώτου
μηνὸς τῆς σελήνης· ἡ γὰρ ιδ' εὑρίσκεται οὐχ ἡ ἀνάστασις, ἀλλ'
ὁ καιρὸς τῆς σωτηριώδους προσηλώσεως τῆς ἐν τῷ σταυρῷ. καὶ
ἐκ τούτου φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες· ὅτε γὰρ
ἔδει νηστεύειν καὶ μηδαμῶς πανηγυρίζειν, οὗτοι φαίνονται καὶ
εὐφραινόμενοι καὶ ἑορτάζοντες, οὐδαμῶς τὸν καιρὸν τῆς ὄντως
D τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσεως ἐκ νεκρῶν εἰδό-
τες, καὶ ἐκ τούτου μηδὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, ἀλλ' οἰ-
κείοις τισὶν ἔθεσιν.*

*Εἶτα θέλοντες παραστῆσαι ὡς κατὰ τὸ παρὸν πεντακισχι-
λιοστὸν πεντακοσιοστὸν τεσσαρακοστὸν ἔτος γενέσεως κόσμου,
V 177 ἀρξάμενοι ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, πόστῃ τοῦ
μηνὸς καὶ ποίᾳ ἡμέρᾳ ἔφθασεν ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελή-
νης, εὑρίσκομεν τὰ ͵εφλθ' ἔτη ποιοῦντες παρὰ τὸν ιθ'. ιθ' σ'
R 524 γίνονται ͵γω', ιθ' Ϟ γίνονται ͵αψι', ιθ' α' γίνονται ιθ'· λοιπὸν
ι'· καὶ εὑρίσκομεν κατὰ τὸ φύσει μὲν ι' ἔτος τῆς ἐννεακαιδεκαε-
P 221 τηρίδος, θέσει δὲ ια' προσκειμένας ἐπακτὰς κα'. ταύταις προσ-
τίθεμεν ιγ' τὰς πρὸ τῶν φωστήρων, προσελήνους ἑπτά, καὶ γ'
τὰς ἀπὸ κα' καὶ αὐτῆς τοῦ μαρτίου μηνός, καὶ τοῖς κβ' λεπτοῖς
ἄλλα λεπτὰ με' πρόσθες, ὡς τρίτου ἔτους ὄντος μετὰ τὸ βίσεκστον,
καὶ ἐκ τῶν ξζ' λεπτῶν λαμβάνομεν μίαν, καὶ γίνονται μδ'· ἔκβα*

3. τῆς alterum om. R. 5. *φαίνονται τοὐναντίον Ἰουδαῖοι ποιοῦντες καὶ* P. 7. *εἰδότες* om. R. 12. *ἀρχόμενοι* P, *ἀρχάμενοι* R. 14. *τῶν* RV, *τὸ* P. 16. *ἐννεακαιδεκα*] *ιθ'* PV. 20. *βίσεκτον* P. 21. *λαμβάνωμεν* PV.

mensis lunae sexta decima celebratur: nam quarta decima, non Resurrectionis sed tempus fuit salutaris crucifixionis. Et ex hoc Judaeos contrarium facere apparet: quando enim jejunium celebrandum est, neque festivitas agi debet, illi contra facere, et se ad laetitiam componere videntur, nullo plane modo tempus vere servatoris nostri Jesu Christi resurrectionis a mortuis celebrantes, cum se minime sacris literis, sed propriis quibusdam ritibus insistere sciant.

Deinde si velimus ostendere quemadmodum hoc praesenti anno a mundi conditu v. MDXL. capto initio a XXI. mensis Martii, in quotam mensis, quamve feriam inciderit XIV. primi mensis lunae, invenimus v. MDXXXIX. quos dividimus per XIX. (hoc modo). Ducantur XIX. in C. prodibunt III. MDCCC. ducantur XIX. in XC. fient MDCCX. ducantur XIX. in I. fient XIX. reliqua sunt X. Unde colligimus anno juxta naturam X. decemnovennalis cycli, secundum vero positionem XI. adjunctas epactas XXI. His addimus XIII. anteluminares, et antelunares VII. et III. a XXI. mensis Martii, et XXII. minutis minuta alia XLV. adjice, cum sit tertius annus post bisextum: et ex LXVII. minutis accipimus I. et fiunt XLIV. abjice XXX. reliqua sunt XIV. et ecce intelligimus uti XIV. primi mensis lunae ec-

λ'· λοιπὸν ιδ'. καὶ ἰδοὺ ἔγνωμεν ὡς ἡ ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνός. εἶτα καὶ τὴν ἡμέραν ζητοῦντες γνῶναι, καθ' ἣν ἔφθασεν ἡ ιδ', τοῖς ,εφλθ' προστίθεμεν τὸ τέταρτον ,ατπδ', γινόμενα ὁμοῦ ,ϛϡκγ'· ταύτας παρὰ τὸν ζ'· ζ' ϡ' γίνονται ,ϛτ', ζ' π' γίνονται φξ', ζ' η' νϛ'· [B] λοιπὸν ζ'. ταύτας προσβάλλομεν γ' τὰς πρὸ τῶν φωστήρων καὶ γ' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνός· γίνονται ιγ'· ἔκβα ζ'· λοιπὸν ϛ'.

Καὶ δέδεικται ὡς ἡ ιδ' κατὰ τὸ παρὸν ,εφμ' ἔτος τῆς τοῦ κόσμου γενέσεως καὶ ιθ' τῆς Τιβερίου Καίσαρος μοναρχίας, ἀρχὴν εἰληφὸς ἀπὸ κα' τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνός, ἰνδ. δ', καθ' ὃ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν ἑκούσιον καὶ ζωοποιὸν ὑπέμεινε σταυρόν, ἔφθασεν τῇ κγ' τοῦ μαρτίου μηνὸς καὶ ἐν ἡμέρᾳ παρασκευῇ. ἐν ἡμέρᾳ δὲ παρασκευῇ σταυρωθῆναι τὸν κύριον διδάσκουσιν τὰ θεόπνευστα λόγια, ἐν τῇ τοῦ πάσχα [C] ἑορτῇ, καθὼς ἔμπροσθεν εἴρηται. τριῶν οὖν πάσχα μετὰ τὸ βαπτισθῆναι τὸν κύριον τελεσθέντων, καὶ ἐν τῷ τετάρτῳ ἔτει τῆς τοῦ πάσχα ἑορτῆς ὑπὲρ ἡμῶν σταυρωθέντος τοῦ κυρίου, δείκνυται σαφῶς ὅτι τρία ὁλόκληρα ἔτη τὸ σωτήριον ἐδίδαξεν κήρυγμα καὶ ἡμέρας οϛ', τινὰς μὲν αὐτῶν πρὸ τοῦ πάσχα τοῦ πρώτου κατὰ τὸ ιε' ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, τινὰς δὲ πρὸ τοῦ κατὰ τὸ παρὸν ἔτος ,εφμ' γεγονότος σωτηριώδους

3. ἔφθασεν] Post haec lacunam habet V. 5. τὸν] τῶν R. 9. ἡ ιδ' om. RV. *ib.* ἔτος ,εφμ' P. 12. ὁ alterum om. P. 14. παρασκευῇ bis P. 18. τῆς om. R. 20. πρώτου τοῦ πάσχα P.

currat XXIII. mensis Martii. Si deinde quaeramus diem, seu feriam, qua occurrit XIV. anni V. MDXXXIX. addimus quartam partem MCCCLXXXIV. et existunt VI. MDCCCCXXIII. his per X. partitis, septies DCCCC. efficiunt VI. MCCC. septies LXXX. efficiunt DLX. VII. VIII. LVI. reliqua sunt VII. quibus addimus III. a XXI. mensis Martii, et fiunt XIII. abjice VII. relinquuntur VI.

Ita igitur demonstratum est quemadmodum decima quarta lunae hoc praesenti a mundi conditu an. V. MDXL. et XIX. Imperii Tiberii Caesaris, anni initio sumpto a XXI. mensis Martii, Ind. IV. quando Dominus noster Jesus Christus salutarem crucem ultro subiit, inciderit in XXIII. mensis Martii, et in diem Parasceves. Die autem Parasceves crucifixum fuisse Dominum docent divinitus inspirata oracula, die scilicet festo, uti superius dictum est. Tribus ergo Paschatis festis, postquam Dominus baptizatus est, exactis, annoque quarto, Paschali festo, pro nobis crucifixo Domino, evidenter ostenditur totos tres integros annos salutarem praedicationem exercuisse, diesque praeterea LXXVI. ac horum quidem ante primum Pascha, anno XV. Imperii Tiberii Caesaris, aliquot vero ante Pascha hujus praesentis an. V. MDXL. quo salutare Pascha contigit. Quod autem Dominus praedicato per tres annos Evangelio, ad voluntariam et

πάσχα. ὅτι δὲ τρεῖς ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον ὁ κύριος
D ἐπὶ τὸν ἑκούσιον καὶ ζωοποιὸν ἦλθε σταυρὸν διδάσκει καὶ Ἰγνά-
R 526 τιος ὁ θεοφόρος καὶ μάρτυς, ὁ Ἰωάννου τοῦ θεολόγου γνήσιος
μαθητὴς γεγονώς, τῆς δὲ ἐν Ἀντιοχείᾳ ἁγιωτάτης ἐκκλησίας
ἐπίσκοπος ὑπὸ τῶν ἀποστόλων κατασταθείς. ἐν τῇ πρὸς Τραλ-
λιανοὺς τοίνυν ἐπιστολῇ γέγραφεν ἐπὶ λέξεως οὕτως. „ἀληθῶς
τοίνυν ἐγέννησε Μαρία τὸ σῶμα θεὸν ἔχον ἔνοικον, καὶ ἀλη-
θῶς ἐγεννήθη ὁ λόγος ἐκ τῆς παρθένου Μαρίας, σῶμα ὁμοιο-
παθὲς ἡμῖν ἠμφιεσμένος. ἀληθῶς γέγονεν ἐν μήτρᾳ ὁ πάντας
ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων, καὶ ἐποίησεν ἑαυτῷ σῶμα
P 222 ἐκ τῶν τῆς παρθένου σπερμάτων, πλὴν ὅσον ὁμιλίας ἀνδρὸς ἄνευ.
ἀληθῶς ἐκυοφορήθη, ὡς καὶ ἡμεῖς, χρόνων περιόδοις, καὶ
ἀληθῶς ἐτέχθη, ὡς καὶ ἡμεῖς. ἀληθῶς ἐγαλακτοτροφήθη, καὶ
τροφῆς κοινῆς καὶ ποτοῦ μετέσχεν, ὡς καὶ ἡμεῖς, καὶ τρεῖς δε-
κάδας ἐτῶν πολιτευσάμενος ἐβαπτίσθη ὑπὸ Ἰωάννου ἀληθῶς καὶ
V 178 οὐ δοκήσει. καὶ γ′ ἐνιαυτοὺς κηρύξας τὸ εὐαγγέλιον καὶ ποιήσας
σημεῖα καὶ τέρατα ὑπὸ τῶν ψευδοϊουδαίων καὶ Πιλάτου ἡγεμόνος
ὁ κριτὴς ἐκρίθη, ἐμαστιγώθη ὑπὸ δούλων, ἐπὶ κόῤῥης ἐῤῥαπίσθη,
ἐνεπτύσθη, ἀκάνθινον στέφανον καὶ πορφυροῦν ἱμάτιον ἐφόρε-
σεν, κατεκρίθη, ἐσταυρώθη ἀληθῶς, οὐ δοκήσει, οὐ φαντασίᾳ, οὐκ
ἀπάτῃ. ἀπέθανεν ἀληθῶς, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ τῶν νεκρῶν."

B Ἰδοὺ φανερῶς ὁ τοιοῦτος καὶ τηλικοῦτος τῆς ἐκκλησίας διδάσκαλος τρεῖς ἐνιαυτοὺς κηρῦξαι τὸ εὐαγγέλιον τὸν σωτῆρα λέγει.

8. ἠμφιεσμένον R. 18. κόρης ἐραπίσθη PV.

vivificam crucem venerit, docet Ignatius ille Deifer et Martyr, qui Joannis Theologi genuinus discipulus fuit, sanctissimaeque Antiochenae Ecclesiae Episcopus ab Apostolis constitutus. Is quippe in Epistola ad Trallianos sic verbo tenus scripsit: *Vere etenim peperit Maria corpus, Deo in ea habitante. et vere natus est Deus Verbum ex Virgine: corpus similiter nobis passibile sine peccato induens: vere conceptus est in utero, et factus est in vulva, (qui omnes homines in vulva fingit) formans et faciens sibi corpus ex Virgine, sine semine scilicet et consuetudine viri: portatusque in utero, sicut et nos tempore portati sumus: et vere lactatus est, et nutritus sicut nos, et cibo et potu sicuti et nos usus est: et triginta annos agens baptizatus est a Joanne, in veritate et non in phantasmate: et tribus annis praedicavit Evangelium, et fecit signa et prodigia coram falsis Judaeis: et a Pilato Praeside Judex judicatus est, flagellatus est, colaphis caesus est, consputus est, spineam coronam purpureamque vestem portavit, condemnatus est, crucifixus est vere, sepultus est, et resurrexit a mortuis.*

Ecce aperte omnino talis ac tantus Ecclesiae doctor triennio a servatore praedicatum Evangelium dicit.

Οἱ δὲ κατὰ τῶν ἑορτῶν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας γράψαι τολμήσαντες τέσσαρας ἐνιαυτοὺς ὁλοκλήρους καὶ ἡμέρας τινὰς κηρῦξαι τὸν κύριον τὸ εὐαγγέλιον ἀπεφήναντο, ἐναντιούμενοι τῷ ῥηθέντι θεοφόρῳ καὶ μάρτυρι καὶ ταῖς ἁγίαις γραφαῖς.

Ὅτι δὲ τρεῖς ἐνιαυτοὺς ὁ σωτὴρ ἐδίδαξε τὸ κήρυγμα δείκνυται καὶ ἐξ ἑτέρων ἀναγκαίων λόγων, ἔκ τε τῶν ἱερῶν εὐαγγελίων καὶ ἐκ τῶν Ἰωσήππῳ τῷ παρ' Ἑβραίοις σοφῷ γραφέντων καὶ ἐξ ὧν, ὡς πρόκειται, ὁ παρὰ τοῖς Ἕλλησι χρονογράφος ἱστόρησε C Φλέγων ὁ τὰς Ὀλυμπιάδας τεθεικώς, λέγων, Τῷ δὲ τετάρτῳ ἔτει τῆς σβ' Ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνω- R 528 σμένων πρότερον· καὶ νὺξ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι, σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. ταῦτα ὁ δηλωθεὶς ἀνήρ. τὰ μέντοι ἱερὰ εὐαγγέλια ἄρξασθαι τὸν κύριόν φασι τοῦ σωτηρίου κηρύγματος ἐπὶ Ἄννα ἀρχιερέως, σταυρωθῆναι δὲ ἐπὶ Καϊάφα λέγουσιν. ὁ δὲ Ἰώσηππος ἐν τῷ ιη' τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας γράφει τρεῖς ἀρχιερεῖς μετὰ τὸν Ἄνναν γεγονέναι, Ἰσμάηλον τὸν τοῦ Βαφεὶ καὶ Ἐλεάζαρον τὸν τοῦ Ἀνάνου υἱὸν καὶ Σίμωνα τὸν τοῦ Καμαθεί, καὶ τότε μετ' ἐκείνους τὸν Καϊάφαν ἀρχιερέα γενέσθαι. ἐνιαύσιος δὲ ὁ τῆς ἑκά- D στου ἀρχιερωσύνης ἦν χρόνος. ἐξ ὧν δῆλον ὅτι τρεῖς ἐνιαυτοὺς

9. χρονογράφοις P. 10. τεθηκὼς PV. 11. σβ'] οβ' V. 13. τῷ οὐρανῷ P. 17. ιη'] 3. 18. Ἄννα PV. 20. Ἀννάνου P. 21. ἐνιαυτὸς P.

Qui ergo adversus Sanctae Catholicae et Apostolicae Ecclesiae dies festos ausi sunt scribere, quadriennio toto, diebusque aliquot a Domino Evangelium fuisse praedicatum, sancto Deifero Martyri, et sacris literis contraire deprehenduntur.

Quod vero Servator per tres annos Evangelium praedicaverit, patet praeterea ex aliis necessariis rationibus, et sacris Evangeliis, et ex scriptis Josephi, viri inter Judaeos docti: atque adeo ex iis, ut ante dictum est, quae inter Graecos chronologos celebris Phlegon narravit, qui Olympiadum rationem conscripsit, hisce verbis: *Quarto autem anno ccii. Olympiadis magna et insignis inter omnes, quae ante eam acciderant, defectio solis contigit: dies hora sexta in tenebrosam noctem ita versus est, ut stellae in coelo visae sint, terraeque motus in Bithynia Nicaeae urbis multas aedes subvertit.* Haec supradictus vir. Salutare quidem praedicationis munus a Christo coeptum, Anna Pontificatum obtinente, Christum vero crucifixum sub Caipha, docent sacra Evangelia. Josephus vero lib. XVIII. Antiq. Judaic. scribit tres Pontifices post Annam fuisse, Ismaëlem Baphi F. Eleazarum Annani F. et Simonem Camathi F. post hos autem Caipham Pontificatum obtinuisse. Singulorum porro unius anni fuit Pontificatus. Unde liquet tribus annis integris Ismaëlis, Elea-

τοῦ Ἰσμαήλου καὶ τοῦ Ἐλεαζάρου καὶ τοῦ Σίμωνος ὁλοκλήρους ἐκήρυξεν ὁ σωτὴρ τὸ εὐαγγέλιον τῆς βασιλείας, ἡμέρας δέ τινας ἐκ τοῦ τέλους τῆς ἀρχιερωσύνης τοῦ Ἄννα καὶ ἡμέρας τινὰς ἐκ τῆς ἀρχῆς τῆς τοῦ Καϊάφα ἀρχιερωσύνης. τῇ τεσσαρεσκαιδεκάτῃ οὖν, ὡς πρόκειται, τοῦ πρώτου μηνὸς τῆς σελήνης ἐσταυρώθη ὁ κύριος καὶ ἐν ἡμέρᾳ ἕκτῃ τῆς ἑβδομάδος.

Κἀντεῦθεν δείκνυται ὅτι καθ' ἣν ἡμέραν ἔπλασε τὸν ἄνθρωπον αὐτὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, αὐτὸς ἐπὶ συντελείᾳ τῶν αἰώ-
P 223 νων ἐσταυρώθη ἐν ἡμέρᾳ ἕκτῃ δι' ἡμᾶς τοὺς ἐξ αὐτοῦ ὑπὸ τὴν ἀπόφασιν τοῦ θανάτου διὰ τὴν ἁμαρτίαν γενομένους, ἵνα ἡμῖν τῷ οἰκείῳ πάθει τὴν ἀπάθειαν χαρίσηται, καθά φησιν ὁ μέγας Βασίλειος. καὶ τῇ ις' κατὰ σελήνην, ἐν ᾗ τὸ δράγμα προσέταξεν ὁ θεῖος νόμος προσφέρεσθαι ἀπαρχὴν θερισμοῦ, καὶ πρὸ τοῦ ἐπελθεῖν δρέπανον ἐπ' ἀμητὸν ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῆς ἀνθρωπότητος γενόμενος ὁ κύριος ἡμῶν καὶ σωτὴρ ὁ Χριστὸς πρὸ τοῦ ἐπελθεῖν τὸ τῆς συντελείας δρέπανον τῷ κόσμῳ. καὶ καθὼς προδιέγραψεν ἐν τῇ προσφορᾷ τοῦ δράγματος τῆς ἀπαρ-
B χῆς, οὕτως ἀνέστη, λυτρωσάμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, ἐν ᾗ προσήνεγκεν τὸ δράγμα τῆς ἀπαρχῆς τοῦ ἡμετέρου φυράματος τῷ θεῷ καὶ πατρὶ τὴν ἐξ ἀναστάσεως τῶν νεκρῶν ἀπαρχὴν κατὰ τὰς ὑπ' αὐτοῦ περὶ ἑαυτοῦ προῤῥηθείσας γραφάς.

Ἐκ ταύτης δὲ τῆς ἡμέρας, τουτέστιν τῆς ις' καὶ αὐτῆς τοῦ

3. τοῦ τέλους — ἐκ om. P. 12. προέταξεν R, alterum in m. ponens. 14. ἀπελθεῖν P. 19. ἐν om. P. 21. περὶ ἑαυτοῦ om. P. ib. προρηθείσας PV.

zari, ac Simonis, Evangelium de regno coelesti praedicasse Salvatorem, et diebus aliquot ex initio Pontificatus Caiphae. Decima quarta igitur, ut supra dictum est, primi mensis lunae cruci affixus est Dominus, et feria vi. hebdomadis.

Hinc pariter patescit, eodem die quo hominem olim formarat verus Deus noster, eundem in saeculorum consummatione, die sexto, crucifixum pro nobis, qui ex eo procreati per sententiam propter peccatum morti addicti fueramus, ut morte sua impassibilitatem nobis compararet, quemadmodum ait magnus Basilius. Et sexta decima luna mensis, qua divina lex manipulum primitiarum ex messe offerri praeceperat, et antequam falx mitteretur in messem, surrexit ex mortuis, in primitias factus humanitatis Dominus noster et Salvator Christus, antequam falx consummationis in mundum mitteretur. Et quemadmodum praescripserat in oblatione manipuli primitiarum, ita surrexit, asserta nostra ex corruptione vita, in qua manipulum primitiarum nostri fermenti obtulit Deo Patri, ex mortuorum resurrectione primitias, secundum ab eo praenuntiatas scripturas.

Ab hoc porro die, hoc est xvi. ipsius scilicet primi mensis, prae-

πρώτου μηνός, ἀριθμεῖν τὰς ν' ἡμέρας τῆς πεντηκοστῆς ὁ θεῖος παρεκελεύσατο νόμος. καὶ τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς ἀναστάσεως R 530 αὐτοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀνελήφθη εἰς V 179 τοὺς οὐρανοὺς τῇ τρίτῃ τοῦ ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ πέμπτῃ τῆς ἑβδομάδος, καὶ καθὼς γέγραπται, Ἀνάστηθι, κύριε, εἰς C τὴν ἀνάπαυσίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ ὁ ἅγιος Ἀθανάσιος ἑρμηνεύων τὸν ρλα' ψαλμὸν ἔγραψεν οὕτως· „Ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου· τὴν εἰς οὐρανοὺς ἀνάληψιν ἐπισπεύδουσιν αὐτοῦ. Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου τὴν ἁγίαν αὐτοῦ σάρκα φησί· μετ' αὐτῆς γὰρ ἀνελήφθη. οὐ γὰρ ἀποσαρκοῦται εἰς τοὺς ἀγηράτους αἰῶνας τῶν αἰώνων.“

Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν ἀποβολὴν τοῦ ἔθνους τῶν Ἰουδαίων, ὅσοι τῆς τοῦ δεσπότου Χριστοῦ κλήσεως δι' οἶκτον φιλανθρωπίας γεγόναμεν ἄξιοι, τὸ σκιῶδες πάσχα οὐκέτι ἐπετελέσαμεν· παρῆλθε γὰρ ἡ σκιὰ τοῦ νόμου D τῆς χάριτος ἐπελθούσης. καὶ τῇ ιγ' τοῦ ῥηθέντος ἀρτεμισίου μηνὸς ἐν ἡμέρᾳ κυριακῇ, αὐτῇ τῇ πεντηκοστῇ ἡμέρᾳ τῆς σωτηριώδους ἀναστάσεως, ἐπεδήμησε τοῖς ἀποστόλοις ἐν πυρίναις γλώσσαις τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. πλησθέντες δὲ οἱ ἀπόστολοι πνεύματος ἁγίου ἤρξαντο κηρύσσειν τὸ εὐαγγέλιον τῆς βασιλείας. ἐξ ἧς κανονίζοντες τὴν διὰ τὴν ἡμετέραν σωτηρίαν γενομένην ἀνάστασιν ἐν τῇ ἁγίᾳ κυριακῇ, ἑορτάζομεν τὸ ἐκκλησιαστικὸν κήρυγμα η' ἡμέρας,

cepit lex divina ut dies Pentecostes putarentur: quadragesimo vero die post resurrectionem suam Dominus noster Jesus Christus in coelum assumptus est tertio die Artemisii, seu Maii mensis, feria quinta hebdomadis, et quemadmodum scriptum est: *Surge, Domine, in requiem tuam, tu et arca sanctificationis tuae.* Et Sanctus Athanasius in CXXXI. Psalmi explanatione hunc in modum scripsit: *Surge Domine in requiem tuam: ascensum in coelum ipsius accelerant: Tu et arca sanctificationis tuae: sanctum ipsius corpus dicit, cum hoc enim assumptus est; neque enim humanitatis naturam unquam in omnes aeternitates exuit.*

Post Assumptionem Domini nostri Jesu Christi, et dejectionem gentis Judaeorum, quotquot Domini nostri, ex illius clementia et misericordia, digni facti sumus vocatione, umbraticum illud Pascha non amplius celebravimus: legis enim umbra, gratia adveniente, praeteriit. Et XIII. dicti mensis Artemisii, die Dominica, ipsa quinquagesima die post salutarem resurrectionem, spiritus Sanctus in ignitarum linguarum specie ad Apostolos venit, et sedit super unum quemque eorum. Repleti ergo Spiritu sancto coeperunt praedicare Evangelium regni (Dei). Ex quo tempore celebrantes propter nostram salutem factam Resurrectionem die

P 224 *ὥς φησιν ὁ ἅγιος Ἰωάννης. καὶ ἐκ τούτου τοῦ ἐνιαυτοῦ ἠρξάμεθα ἡμεῖς οἱ χριστιανοὶ ἑορτάζειν τὴν ζωοποιὸν ἀναστάσιμον ἑορτὴν τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.*

Εἰσὶν δὲ καὶ οἱ ἐπίσημοι τῶν ἀποστόλων γεγονότες μετὰ τοὺς προγεγραμμένους ιβ′ μαθητὰς τοῦ κυρίου κατὰ τὸ ιε′ ἔτος τῆς Τιβερίου Καίσαρος μοναρχίας, οἵτινες μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, καὶ αὐτοί εἰσιν οἵδε.

νζ′. Βαρνάβας.

νη′. Μάρκος ὁ εὐαγγελιστής.

νθ′. Σιλᾶς.

ξ′. Λουκᾶς ὁ ἰατρὸς καὶ εὐαγγελιστὴς γενόμενος, περὶ οὗ Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐμνημόνευσεν ἐπιστολῇ.

ξα′. Τιμόθεος.

ξβ′. Σιλουανός.

ξγ′. Τίτος.

R 532 *Εἰσὶν δὲ καὶ οἱ κατασταθέντες διάκονοι μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου ζ′.*

B *ξδ′. Στέφανος ὁ πρῶτος μάρτυς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ ἀνῃρέθη λιθοβοληθεὶς ὑπὸ Ἰουδαίων.*

ξε′. Φίλιππος.

ξς′. Πρόχωρος.

ξζ′. Νικάνωρ.

ξη′. Τίμων.

5. οἱ om. P. 8. Ante καὶ addit m. R ἤνθησαν. 19. μάρτυρ P. 22. Πρόχορος P.

Dominica, festum agimus praedicationis Ecclesiasticae octo diebus, ut ait Sanctus Joannes. Et ab hoc anno nos Christiani coepimus colere diem vivificae Resurrectionis Domini Jesu Christi vere Dei nostri, cui gloria in saecula, Amen.

Sunt et alii illustres Apostoli praeter supra memoratos XII. Domini Discipulos ad XV. Tiberii Caesaris Imperii annum recensitos, qui post Domini in coelos assumptionem floruere. Ii vero sunt LVII. Barnabas, LVIII. Marcus Evangelista, LIX. Silas, LX. Lucas medicus et Evangelista, de quo Paulus in Epistola ad Colossenses mentionem facit, LXI. Timotheus, LXII. Silvanus, LXIII. Titus.

Sunt praeterea post Christi in coelos assumptionem constituti VII. Diaconi.

LXIV. Stephanus primus Martyr Domini nostri Jesu Christi, qui lapidibus impetitus a Judaeis extinctus est: LXV. Philippus: LXVI. Prochorus: LXVII. Nicanor: LXVIII. Timon: LXIX. Parmenio: LXX. Nicolaus.

ξθʹ. Παρμενίων.

οʹ. Νικόλαος.

Οὗτοι πάντες γεγόνασιν συνέκδημοι τοῖς ἀποστόλοις μετὰ
τὴν τοῦ κυρίου εἰς οὐρανοὺς ἀνάληψιν.

Εἶτα ἐχειροτονήθησαν ἐπίσκοποι, πρῶτος ἐν Ῥώμῃ Πέτρος,
ἐν Ἀλεξανδρείᾳ Μάρκος ὁ εὐαγγελιστής, ἐν Ἱεροσολύμοις Ἰάκω-
βος ὁ ἀδελφὸς τοῦ κυρίου, ἐν Ἀντιοχείᾳ ὁ προειρημένος ἀπόστο-
λος Πέτρος. περὶ δὲ τῶν προγεγραμμένων οʹ μαθητῶν τῶν με- C
τὰ τοὺς ιβʹ τοὺς προτεταγμένους ἱστορεῖ Κλήμης ὁ συγγραφεὺς
ἐν τῇ πέμπτῃ τῶν Ὑποτυπώσεων.

Εἰσὶν δὲ καὶ αἱ παρακολουθήσασαι τοῖς ἀποστόλοις ἅγιαι
γυναῖκες μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, περὶ ὧν
ἐπιστέλλων Παῦλος ἐμνημόνευσεν, Φοίβη, Τρυφῶσα, Εὐνίκη V 180
μήτηρ τοῦ ἀποστόλου Τιμοθέου, Πρίσκα, Περσίς, Πρίσκα,
Μαρία, Ἰουλία, Κλαυδία, Ἰουνία, Πρίσκιλλα, Ἀπφία, Τρύ-
φαινα, Λωίς, μάμμη Τιμοθέου τοῦ ἀποστόλου.

Περὶ τῆς γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν καὶ τοῦ παναγίου αὐτοῦ βαπτίσματος καὶ τοῦ σωτηρίου αὐτοῦ πάσχα σύντομος διήγησις. D

Ἡ καθολικὴ γέννησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἐστιν αὕτη.

4. οὐρανὸν P. 9. τοὺς προτ.] προτ. P. 10. τῶν om. P. 13. Τριφῶσα P. 14. μήτηρ post Τιμοθέου ponit P. 15. Κλαυδία — Πρίσκιλλα om. P. ibid. Ἀππία P. 17. ἡμῶν om. P.

Hi omnes Apostolorum socii fuere in peregrinationibus.

Deinde creati sunt Episcopi, primus Romae Petrus, Alexandriae Marcus Evangelista, Hierosolymis Jacobus frater Domini, Antiochiae supra memoratus Petrus. De recensitis vero discipulis LXX. praeter XII. supra dictos, agit Clemens scriptor lib. V. Hypotyposeon.

Sunt etiam sanctae quaedam mulieres, quae post Domini in coelum assumptionem Apostolos secutae sunt, quarum in Epistolis Paulus meminit: Phoebe scilicet, Triphosa, Eunice Timothei Apostoli mater, Prisca, Persis, Prisca, Maria, Julia, Appia, Tryphaena, Lois avia Timothei Apostoli.

De Nativitate Domini Jesu Christi veri Dei nostri, et sanctissimo ejus baptismo, et salutari illius Paschate, brevis narratio.

Catholica generatio Domini nostri Jesu Christi veri Dei ita se habet.

Ἐγεννήθη χοιὰκ κη' ὥρᾳ ζ' τῆς νυκτός. ἐβαπτίσθη τυβὶ
ια' ὥρᾳ ι' τῆς ἡμέρας ὑπὸ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ
ὁ Ἰορδάνης ἀνεπόδισεν εἰς τὰ ὀπίσω.

P 225 Εἶπεν δὲ ὁ κύριος τῷ Ἰωάννῃ, Εἶπον τῷ Ἰορδάνῃ, Στῆθι, ὁ
κύριος ἦλθεν πρὸς ἡμᾶς. καὶ εὐθέως ἔστησαν τὰ ὕδατα. τότε ὁ
R 534 Ἰωάννης προσεκύνησεν αὐτῷ λέγων, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βα-
πτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με. καὶ εἶπεν αὐτῷ ὁ κύριος, Ἄφες
ἄρτι, δεῖ γενέσθαι τοῦτο. τότε καταβάντων αὐτῶν ἐπὶ τὸ ὕδωρ
ἀνεκόχλασαν τὰ ὕδατα, ὥσπερ κεκερασμένον ὕδωρ. καὶ ὅτε
ἀνέβη ἐκ τοῦ ὕδατος, εὐθέως ἀνεῴχθη ὁ οὐρανός, καὶ ἦλθεν
τὸ πνεῦμα τὸ ἅγιον ὡς περιστερὰ πυροειδής· καὶ φωνὴ μεγάλη
ἠκούσθη ὡς φωνὴ βροντῆς, λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ
B ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ἔμεινεν δὲ ὁ Χριστὸς σὺν ἡμῖν ἐν
τῷ κόσμῳ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἔτη λγ'
καὶ μῆνας γ'. ἐν δὲ τῷ λδ' ἔτει ἐκρατήθη καὶ ἐσταυρώθη φαμε-
νὼθ κθ', ἡμέρᾳ τῆς σελήνης ιδ', παρασκευῆς οὔσης. ἀνέστη
δὲ ἐν τριημέρῳ φαρμουθὶ α', κυριακῆς οὔσης, σελήνης ις', ὥρᾳ
θ' τῆς νυκτός. ἀνελήφθη παχὼν ι' ὥρᾳ θ' τῆς ἡμέρας.

σγ' Ὀλυμπιάς.

Ἰνδ. ε'. ιθ'. ὑπ. Ἀρουντίου καὶ Αἰνοβάρβου.

1. κη'] κε' P, δεκεμβρίου κε' m. V. *ibid.* νυκτός posui ubi ἡμέρας ponebatur in PV et ἡμέρας ubi νυκτός cum m. R. *ibid.* τυβὴ PV. ἰαννουαρίῳ ς' m. V. 5. ὁ om. P. 9. ἀνεκάχλασαν P. *ib.* ὥσπερ] Scribe ὥσπερ πυρί. 15. φαμενὼθ κθ'] μαρτίῳ κγ' m. V, μαρτίου κγ' m. R. 17. φαρμουθὶ α'] μαρτίῳ κε' m. V, μαρτίου κε' m. R. 18. πασχὼν ι' P, πασχῶν R, μαρτίῳ γ' m. V, μαΐου γ' m. R. 19. Ὀλυμπιάδος V.

Natus est Choiac XXV. hora VII. noctis. Baptizatus est a Joanne in Jordane fluvio Tybe XI. hora X. diei et Jordanis conversus est retrorsum.

Dixit autem Dominus Joanni: *Dic Jordani*, *Siste*, *Dominus venit ad nos*. Et statim constitere aquae. Tunc Joannes adoravit eum: *Ego*, inquit, *a te debeo baptizari*, *et tu venis ad me*. Et dixit illi Dominus: *Sine modo*, *istud fieri necesse est*. Tum in aquam iis descendentibus, crepitarunt aquae, veluti cum aqua infunditur. Cum vero ex aqua est egressus, statim coelum apertum est, et venit Spiritus sanctus instar igneae columbae, auditaque est vox magna, ut vox tonitrui, dicens: *Hic est filius meus dilectus*, *in quo mihi complacui*. Mansit autem Christus nobiscum in mundo, sanans omnem morbum, et omnem languorem annos XXXIII. et menses III. Anno vero XXXIV. comprehensus est, et in crucem actus mensis Phamenoth die XXIX. lunae XIV. cum esset Parasceve: resurrexit vero post triduum, Pharmuthi primo, qui dies erat Dominicus, lunae XVI. hora IX. noctis. In coelum denique assumptus est mense Paschon, hora diei IX.

Ἐν τῷ κ' ἔτει τῆς Τιβερίου βασιλείας, ἀρχὴν εἰληφότι ἀπὸ C
τῆς κα' καὶ αὐτῆς τοῦ κατὰ Ῥωμαίους μαρτίου μηνὸς τῆς παρούσης πέμπτης ἰνδικτιῶνος, εἰκοστῷ πέμπτῳ ἔτει τῆς ὀκτωκαιεικοσαετηρίδος τοῦ ἡλίου καὶ δωδεκάτῳ τῆς ἐννεακαιδεκαετηρίδος τῆς σελήνης καὶ τῶν προκειμένων ὑπάτων, εὑρεθείσης τῆς ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τῇ ια' τοῦ κατὰ Ῥωμαίους ἀπριλίου μηνός, ἐν ἡμέρᾳ ἕκτῃ τῆς ἑβδομάδος, καθὰ διὰ τῶν προκειμένων μεθόδων εὑρίσκομεν, ἑόρτασαν πρῶτον πάσχα οἱ ἅγιοι ἀπόστολοι μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κυρίου, τὴν ἁγίαν δ' αὐτοῦ ἀνάστασιν τῇ ιγ' ξανθικοῦ μηνός. αὐτοὶ οὖν πρώτως,
ὡς εἴρηται, κατὰ τὸ παρὸν ἔτος ἐπιτελέσαντες παρέδωκαν ταῖς D
ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καθ' ἕκαστον ἐνιαυτὸν ἐπιτηρεῖν τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης μετὰ ἐπίβασιν τῆς ἡμέρας, καθ' ἣν ἡ ἐαρινὴ ἰσημερία γίνεται, τουτέστιν τὴν κα' τοῦ κατὰ
Ῥωμαίους μαρτίου μηνός. πάσης ἀμφιβολίας ἀμέτοχος ὁ λόγος R 536
τούς τε μεγάλους φωστῆρας ἐν τῇ τοῦ κόσμου καταβολῇ μετὰ γ' ἡμέραν γεγενῆσθαι καὶ τὸν μυστικὸν τοῦ κυρίου μετὰ τῶν μαθητῶν δεῖπνον ἐν τῷ τοῦ πάθους καιρῷ πρὸ γ' ἡμερῶν τῆς ἁγίας
ἀναστάσεως ἐπιτελεσθῆναι. καλῶς ὡρίσθη πρὸ ια' καλανδῶν V 181
ἀπριλίων πάσχα ἐπιτελεῖν, μὴ ἐξεῖναι δὲ μηδὲ πρὶν τῆς πρὸ ια'

1. τῆς om. P. 3. η' καὶ κ' PV. 4. θ' καὶ δ. PV. 8. πρῶτον] πρῶτος V: quod aut πρώτοις scribendum aut πρώτως, ut altero abhinc versu: v. dicta ad p. 162. A. 10. δ' om. V. 12. τοῦ ἁγίου θεοῦ P. 17. τὸν] τὸ m. R. 20. πρὸ om. P.

A. C. [Ol. Iph.]

CCIII. Olympias. Anni a m. c.

83. XIX. Ind. V. Aruntino et Aënobarbo Coss. 4. 202. 5540.

Anno XX. Imperii Tiberii, qui a XXI. mensis Martii secundum Romanos praesentis Indictionis V. initium sumit, XXV. anno vigintioctennalis solis, et XII. anno decemnovennalis lunae cycli, et praedictis Coss. invento die XIV. primi mensis, lunae XI. secundum Romanos mensis Aprilis, in feria VI. hebdomadis, ut juxta praedictas methodos deprehendimus, Apostoli tum primum Pascha celebrarunt post Domini in coelos Assumptionem: sanctam autem ejus resurrectionem XIII. die Xanthici mensis. Illi igitur primum, uti dictum est, hoc praesenti anno celebrato Paschate, sacris Sancti Dei Ecclesiis quotannis observandum tradiderunt XIV. diem primi mensis lunae post diei ascensum, quo vernum aequinoctium incidit, id est XXI. mensis secundum Romanos Martii. Et quidem extra omnem controversiam haberi debet, magna luminaria in mundi constitutione post primum diem esse creata, ac mysticam Domini cum Discipulis coenam, tempore quo est passus, triduo ante sanctam Resurrectionem, fuisse peractam. Proinde recte statutum est ante XI. Kalendas Apriles Pascha non peragendum, neque ante XI. Kalendas Apriles, vel post VII. Kalendas Maias Paschale festum celebrare fas esse. Ita ergo ab XI. ex

καλανδῶν ἀπριλίων μηδὲ μετὰ τὴν πρὸ ζ' καλανδῶν μαΐων πά-
P 226 σχα ἑορτάσαι. οὕτω τοίνυν ταῖς δηλωθείσαις ἀπὸ τῆς πρὸ ια' καλανδῶν ἀπριλίων μέχρι τῆς πρὸ ζ' καλανδῶν μαΐων ἡμέραις κανονιστέον. καὶ ἐὰν ἐν κυριακῇ φθάσῃ ἡ ιδ' τῆς σελήνης, εἰς τὴν ἐπιοῦσαν κυριακὴν οἱ τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας μαθηταὶ τὸ πάσχα τελοῦμεν, ἵνα μὴ μετὰ τῶν Ἰουδαίων ἑορτάσωμεν. εἰ δὲ ἐν δευτέρᾳ τυχὸν ἢ τρίτῃ ἢ τετράδι ἢ πέμπτῃ ἢ παρασκευῇ ἢ σαββάτῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἡ ιδ' φθάσῃ τοῦ φέγγους, εἰς τὴν προϊοῦσαν κυριακὴν ἡμεῖς οἱ Χριστιανοὶ τελοῦμεν τὸ πάσχα, ἐπεκτεινομένης δηλαδὴ τῆς ποσταίας
B τοῦ φέγγους διὰ τὴν τῆς κυριακῆς ἡμέραν.

Τινὲς δὲ κατὰ τῶν ἐν ταῖς ἀνὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τελουμένων ἑορτῶν οὐ μόνον γλώσσας ἀλλὰ δὴ καὶ χεῖρας κινῆσαι τολμήσαντες οὐκ ὤκνησαν καὶ ἐν τούτῳ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἐπισκῆψαι, διότι τὴν σεπτὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑορτὴν πάσχα προσαγορεύει, ἀγνοήσαντες, ὡς ἔοικεν, τὸ διὰ τῆς λέξεως ταύτης δηλούμενον. ὅπερ γὰρ τῇ ἑλλάδι φωνῇ λέγεται διάβασις καὶ ἔκβασις καὶ ὑπέρβασις, τοῦτο τῇ Ἑβραίων γλώσσῃ φασόχ, ἤγουν πάσχα, ὀνομάζεται.

C Ἀναγκαίως οὖν ἡ τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος τοῦ κυρίου, ἀλλὰ δὴ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα προσαγο-

7. τετράδι] τετάρτῃ P. 12. ὑφ' ἡλίου P, ὑφιλῳ m. R. 19. φασέχ P sola.

a. d. Kal. Apriles usque ad ex a. d. VII. Kal. Maias hisce designatis diebus, regula est sumenda. Quod si XIV. luna in diem Dominicam inciderit, sequenti Dominica nos Catholicae Christi Ecclesiae discipuli Pascha celebramus, ne cum Judaeis illud celebremus. Si autem in secundam forte, aut tertiam, aut quartam, aut quintam, aut Parasceven aut Sabbatum, ut in superioribus dictum est, XIV. lunae inciderit, proxime sequenti Dominica nos Christi Pascha agimus, producta ac prorogata nimirum propter diem Dominicam quota seu aetate lunae.

Non defuere autem qui dum contra receptum ab omnibus quae sub sole sunt sanctis Dei Ecclesiis, in celebrandis festis Paschalibus morem, non linguas duntaxat, sed etiam manus exerere audent, sanctam Dei Ecclesiam in hoc pariter reprehendere non dubitantes, quod venerandam a mortuis Christi Dei Resurrectionis festivitatem Paschatis nomine donaverit, cum ipsi, ut videtur, ignorent quid hoc vocabulo intelligamus. Quod enim Graeca lingua dicitur transitus, exitus et transmissio, illud ipsum Hebraeorum idiomate Phasech, seu Pascha, nuncupatur.

Necessario igitur Dei Ecclesia non solum Passionem Domini, sed etiam ejus Resurrectionem Pascha appellat. Quippe propter Domini

ρεύει. διὰ γὰρ τοῦ πάθους τοῦ κυρίου καὶ τῆς ἀναστάσεως αὐτοῦ διάβασιν καὶ ἔκβασιν καὶ ὑπέρβασιν ἡ τῶν ἀνθρώπων φύσις εἴληφεν τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου, αὐτοῦ τε τοῦ θανάτου καὶ τοῦ ᾅδου καὶ τῆς φθορᾶς. εἰ γὰρ ὁ θάνατος τοῦ Χριστοῦ τοῦτο ἡμῖν ἐδωρήσατο, πολλῷ μᾶλλον ἡ ἀνάστασις αὐτοῦ, ὅτε ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων, μηκέτι μέλλων ὑποστρέφειν εἰς διαφθοράν. θάνατος γὰρ οὐκέτι κυριεύει R 536 κατὰ τὴν τῶν θείων ἀποστόλων διδασκαλίαν. D

Δοκοῦσι δέ μοι οἱ κατηγορῆσαι τῆς ἐκκλησίας ἐν τούτῳ τολμήσαντες παρανοῆσαι τὴν ἐκ τοῦ Λευιτικοῦ μαρτυρίαν, ἐν ᾗ φησιν ὁ νομοθέτης, Καὶ τῇ ιδʹ τοῦ αʹ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ. καὶ ἐν τῇ ιεʹ τοῦ μηνὸς τούτου ἑορτὴ ἀζύμων τῷ κυρίῳ ζʹ ἡμέρας ἔδεσθε ἄζυμα, καὶ ἡ ἡμέρα ἡ αʹ κλητὴ ἁγία ἔσται ὑμῖν, ὁμοίως καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν. ἀλλὰ τοὺς μὲν Ἰσραηλίτας πάσχα προσαγορεύειν τὴν ιδʹ μόνον ὁ νομοθέτης προστάττει, ἐπειδὴ ἐν αὐτῇ τῇ ἡμέρᾳ κατὰ θεῖον πρόσταγμα τὸν ἀμνὸν πρὸς ἑσπέραν ἔθυ- P 227 σαν, καὶ τῷ αἵματι αὐτοῦ τοὺς σταθμοὺς καὶ τὰς φλιὰς ἔχρισαν, καὶ τὰ κρέα ἐν αὐτῇ τῇ νυκτὶ ἔφαγον, καὶ οὕτω μεσούσης τῆς νυκτός, καθὼς γέγραπται, διερχόμενος ὁ θεὸς ἐν γῇ Αἰγύπτου πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, θεασάμενος τὸ αἷμα, τοὺς μὲν υἱοὺς Ἰσραὴλ ἐσκέπασεν, παρελθὼν αὐτῶν τὴν θύραν

8. τῶν om. P. 10. τοῦ om. P. *ibid.* *Λευιτικοῦ*] XXIII. 4.
20. *Αἰγύπτῳ* P.

Passionem illiusque Resurrectionem, transitum, exitum, et transmissionem humana accepit natura illius qui in mortem habet imperium, et potestatem: in ipsam, inquam mortem, inferos, et corruptionem. Si enim mors Christi id nobis est elargita, multo magis ejus Resurrectio, quando ex mortuis resurrexit, ipse primitiae dormientium, non amplius in corruptionem reversurus. Mors quippe, secundum divinorum Apostolorum doctrinam, non amplius dominatur.

Illi porro mihi videntur in hoc Ecclesiam accusare, dum prave interpretari audent testimonium ex Levitico, ubi ita ait Legislator: *Et quarta decima die primi mensis ad vesperam Phase Domino. Et quinta decima mensis hujus festum Azymorum Domino: septem diebus comedetis azyma, et dies prima vocata, sancta erit vobis.* Verum Israelitis praecipit Legislator, ut xiv. lunam Pascha duntaxat appellent: quandoquidem ipso die, secundum divinum praeceptum, sub vesperam agnum immolarunt, cujus carnes, sanguine illius liminibus et postibus prius inunctis, in ipsa nocte comederunt. Atque ita, quemadmodum scriptum est, transiens media nocte Dominus in terram Aegypti, ut interficeret primogenitos Aegyptiorum, viso sanguine, filios Israel operuit, ipsorum fores pertransiens, nec sinens quenquam ex iis ab exterminatore percuti.

καὶ μὴ ἀφεὶς τὸν ὀλοθρεύοντα πατάξαι τινὰ ἐξ αὐτῶν. Αἰγυ-
πτίοις δὲ τὴν φθορὰν ἐναπέσκηψεν καὶ τὰ πρωτότοκα αὐτῶν
V 182 *ἀνεῖλεν· καὶ οὕτω μετὰ τὸ μεσονύκτιον τοὺς υἱοὺς Ἰσραὴλ ἐξή-*
γαγεν ἐξ Αἰγύπτου. γέγραπται γὰρ ἐν τῇ ἱερᾷ βίβλῳ τῆς Ἐξό-
δου ἐπὶ λέξεως οὕτως. „ἐκάλεσεν δὲ Μωϋσῆς πᾶσαν τὴν γερου-
B *σίαν Ἰσραήλ, καὶ εἶπεν πρὸς αὐτούς, Ἀπέλθατε, λάβετε ὑμῖν*
αὐτοῖς πρόβατον κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα·
λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ
εἰς τὴν θύραν καθίξετε τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν
σταθμῶν ἀπὸ τοῦ αἵματος ὅ ἐστι παρὰ τὴν θύραν· ὑμεῖς δὲ οὐκ
ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ. καὶ
παρελεύσεται κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷ-
μα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν· καὶ παρε-
λεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσ-
ελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. καὶ φυλάξασθε τὸ ῥῆμα
τοῦτο νόμιμον σεαυτῷ καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος. ἐὰν δὲ εἰσ-
C *έλθητε εἰς τὴν γῆν, ἣν δῷ κύριος ὑμῖν, καθότι ἐλάλησε, καὶ*
R 540 *φυλάξετε τὴν λατρείαν ταύτην. καὶ ἔσται, ἐὰν λέγωσι πρὸς ὑμᾶς*
οἱ υἱοὶ ὑμῶν, Τίς ἡ λατρεία αὕτη; καὶ ἐρεῖτε αὐτοῖς, Θυσία τὸ
πάσχα τοῦτο κυρίου, ὃς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ
ἐν γῇ Αἰγύπτου, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴ-
κους ἡμῶν ἐῤῥύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησεν. καὶ

2. *ἐνεπέσκηψεν* P. 4. *Ἐξόδου*] XII. 21. 6. *ἀπέλθετε* P. 7. *αὐτοῖς* om. P. 8. *λήψεσθε*] *καὶ λήψεσθε* P sola. ib. *αἵματος τοῦ*] *αἵματος αὐτοῦ* V, *αἵματος ὅ ἐστι* P. 9. *καθέξετε* V, *καὶ θίξετε ἐπὶ* P, *καὶ θίξετε* R. 21. *Αἰγύπτῳ* P.

Aegyptiis vero exitium immisit, sublatis eorum primogenitis: sicque filios Israel post mediam noctem ex Aegypto eduxit. Scribitur enim in sacro Exodi libro ad verbum: *Vocavit Moyses omnes seniores Israel, et dixit ad illos, Ite, et accipite agnum per cognationes vestras et sacrificate Pascha. Accipietis autem fasciculum hyssopi, et tingentes ex sanguine qui est apud januam, et tangetis limen, et utrosque postes a sanguine, qui est apud januam. Vos autem non egrediemini unusquisque januam domus suae usque ad mane. Et transibit Dominus ad percutiendum Aegyptios, et videbit sanguinem in limine, et super utrosque postes, et transibit Dominus januam, et non sinet exterminatorem ingredi in domos vestras ad percutiendum. Et servabitis verbum hoc legitimum tibi et filiis tuis usque ad saeculum. Si autem ingressi fueritis in terram, quam dederit Dominus vobis, sicut locutus est, servabitis cultum hunc. Et erit, si dixerint ad vos filii vestri, Quis cultus hic? Et dicetis illis, Victima Pascha hoc Domino, qui protexit domos filiorum Israel in Aegypto, quando percussit Aegyptios, domos autem nostras liberavit. Incurvatusque populus adoravit.* Et rursum: *Si interrogaverit te filius tuus post haec dicens, Quid hoc? dices illi, Quoniam in manu forti eduxit nos Dominus ex Aegypto,*

πάλιν, Ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων, Τί τοῦτο; ἐρεῖς αὐτῷ ὅτι Ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς κύριος ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας· ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἀπὸ D πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν. καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ με κύριος ἐξ Αἰγύπτου." τούτων οὕτως ὑπὸ τῆς θεοπνεύστου γραφῆς εἰρημένων εἰκότως ἄρα ἐκείνην τὴν ἡμέραν μόνον πάσχα οἱ υἱοὶ Ἰσραὴλ προσηγόρευον, τὴν δὲ ιε' καὶ τὰς μετὰ αὐτὴν ς' ἡμέρας ἑορτὴν ἀζύμων. ὅθεν τὴν ἑβραΐδα γλῶσσαν εἰς τὴν ἑλληνίδα φωνὴν μεταβάλλοντες διαβατήρια καὶ ὑπερβάσια τὴν ἑορτὴν ταύτην ἐκάλουν, ὡς ἔστιν τοῦτο γνῶναι ἔκ τε τῶν θεοφόρων τῆς ἐκκλησίας διδασκάλων καὶ ἐκ τῶν παρ' Ἑβραίοις σοφῶν, Φίλωνος λέγω καὶ Ἰωσήπου. ἡ δὲ P 228 τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος καὶ θάνατον τοῦ Χριστοῦ ἀλλὰ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα ὀνομάζει ἀναγκαίως διὰ τὴν ῥηθεῖσαν αἰτίαν, εἰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τῶν ἑπτὰ ἡμερῶν τῶν μετὰ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης εὑρεθείη αὕτη, λέγω δὲ ἡ ἀνάστασις, ἑορταζομένη. ὅθεν Βασίλειος ὁ μέγας, ὁ Καισαρείας Καππαδοκίας ἐπίσκοπος γεγονώς, ἐν τῷ λόγῳ τῷ προτρεπτικῷ εἰς τὸ βάπτισμα μεγάλῃ τῇ φωνῇ κηρύττει βοῶν, Πᾶς μὲν οὖν χρόνος εὐκαιρίαν ἔχει πρὸς τὴν διὰ τοῦ βαπτίσματος

1. πάλιν] XIII. 14. ib. ἐρωτήσει PV. 2. ἐγχειρὶ V. 5. ἀνθρώπων om. R, uncis inclusum addit P. ib. εἰς om. P. 7. τούτων οὖν οὕτως P. 13. θεοφόρων — τῶν om. P. 14. Φίλωνος] vol. II. p. 169. ed. Mang. ib. Ἰωσήπου] Arch. II. 14. 6. 19. ὁ Καισαρείας] Καισαρείας P.

e domo servitutis, quando Pharao induraverat cor ne dimitteret nos, interfecit Dominus omne primogenitum in terra Aegypti, a primogenitis hominum, usque ad primogenita jumentorum, Et erit signum in manu tua, et immotum ante oculos tuos. In manu enim potenti eduxit me Dominus ex Aegypto. His igitur ab inspirata a Deo scriptura sic dictis, merito sane diem illum duntaxat Pascha appellarunt filii Israel: quintamdecimam vero, et sex illam insequentes, Festum Azymorum. Unde qui Hebraeam linguam in Graecanicam transtulerunt, Diabateria, et Hyperbasia, seu dies transitus et exitus, Festum hoc nuncuparunt: quod colligere licet ex iis qui apud Hebraeos doctrinae laude claruerunt, Philone, inquam, et Josepho. Ecclesia vero non solum Passionem et mortem Christi, sed etiam ejus Resurrectionem Pascha necessario appellat, ea quae allata est causa, in quamcumque ex VII. diebus post decimam quartam primi mensis lunae illa inciderit. Unde Basilius magnus, Caesareae Cappadociae Episcopus, in adhortatione ad Baptismum, ingenti voce praedicabundus clamat: *Omne quidem tempus opportunum est ad saluta-*

B σωτηρίαν, κἂν νύκτα εἴπῃς κἂν ἡμέραν κἂν ὥραν κἂν στιγμὴν χρόνου κἂν τὸ βραχύτατον· πολλῷ δὲ δήπου εἰκὸς ἐπιτηδειότερον εἶναι τὸν οἰκειότατον. τί δ' ἂν γένοιτο τῆς ἡμέρας τοῦ πάσχα συγγενέστερον πρὸς τὸ βάπτισμα; ἡ μὲν γὰρ ἡμέρα μνημόσυνόν ἐστιν ἀναστάσεως, τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀνάστασιν. ἐν τοίνυν τῇ ἀναστασίμῳ τῆς ἀναστάσεως τὴν χάριν R 542 ὑποδεξώμεθα. καὶ Γρηγόριος δὲ ὁ θεολόγος ἐν τῷ εἰς τὸ πάσχα λόγῳ, οὗ ἡ ἀρχή, Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ θεσπέσιος Ἀμβακούμ, τὰ παραπλήσια διδάσκει, γράφων ὧδέ πως· Πάσχα κυρίου, πάσχα, καὶ πάλιν ἐρῶ, πάσχα, τιμὴ τῆς ἁγίας C V 183 τριάδος. αὕτη ἑορτῶν ἡμῖν ἑορτὴ καὶ πανηγύρεων πανήγυρις, τοσοῦτον ὑπεραίρουσα οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὅσον ἀστέρος ἥλιος. καλὴ μὲν οὖν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἀξία πᾶσα, δαψιλεῖ τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες, καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος, ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ κόσμον ὅλον αὐγάζων τοῖς παρ' ἑαυτοῦ κάλλεσι καὶ ὅσον ὑπερουράνιον ἔν τε ἀγγέλοις τῇ D πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην τὸ ἐκεῖθεν καταυγάζεσθαι καὶ ὅσον ἐν τῇ τριάδι, παρ' ἧς φῶς ἅπαν συνέστηκεν ἐξ ἀμερί-

12. χαμαὶ ἐρχομένας] Imitatur epicum χαμαὶ ἐρχόμενοι ἄνθρωποι. 14. ἀστέρος PV. ἀστέρας Gregorius vol. I. p. 846. ed. Benedictin. ib. καὶ ἡ χθὲς] καὶ ἡχθὲς V, χθὲς P. 15. συνιστάμεθα P. 16. μικροῦ δεῖν P. 20. καταυγάζεται m. P.

λὰ παρ' ἐμέ. αἱ γὰρ ἐμαὶ ἁμαρτίαι ἐποίησάν με μὴ παρασχεῖν ὑμῖν περὶ ὧν ᾐτήσατέ με ἐν τῷ Ἱππικῷ. καὶ πολλοὶ τοῦ δήμου ἔκραξαν, Αὔγουστε Ἰουστινιανέ, τοῦ βίγκας. ἄλλοι δὲ ἔκραζον,

5. σκευοφυλακίου in m. ponit V. *ib.* φουρίου P. 6. ἀργυροπρατίων] Immo ἀργυροπρατείων. 9. ἐκεῖ P. *ib.* ἐπὶ τὸ Λίβυρνον om. P. 15. ἐγνώσθη R, ἐπληρώθη m. R, ἐχώσθη P. 16. ὁ om. P.

nerunt ad Octagouum, situm inter Basilicam Gunariorum, et publicam Porticum Regiae. Milites autem ubi viderunt in illos se non posse irruere, ignem projecerunt, et Octagonum incenderunt: quo incendio conflagravit quidquid erat circa aedem Sancti Theodori in tractu Sphoracii, praeter Scevophylacium arcis sacrae aedis. Porticus autem tota Argentariorum, et domus Symmachi Ex-Consule ordinario: sancta item Aquilina usque ad fornices alterius Porticus Fori Constantini exusta est. Hinc igitur fugientes Factiones, ignem injecerunt in Magnauram, sed multo hominum facto concursu, statim extinctus est.

Die vero Dominica, hoc est XVIII. ejusdem mensis, cum noctem insomnem duxisset Imperator, progressus est in Circum seditque in suo Tribunali, gestans sanctum Evangelium. Quo cognito, populus universus ascendit, totusque impletus est Circus, turba passim affluente. Tum Imperator, acto sacramento, *Per hanc potestatem*, inquit, *condono vobis offensam hanc, neminemque ex vobis praecipiam comprehendi, modo quiescatis: nulla enim penes vos culpa, sed super me residet. Peccata enim mea effecere, ut vobis non concederem quae a me in Circo petiistis.* Tum multi ex populo acclamarunt: *Auguste Justiniane, tu vincas.* Alii

Ἐπιορκεῖς, σγαύδαρι. καὶ ἔασεν, καὶ κατῆλθεν αὐτὸς ἐκ τοῦ Ἱππικοῦ ὁ βασιλεύς· καὶ ἔδωκεν εὐθέως μίσσας τοῖς τοῦ παλατίου, καὶ λέγει τοῖς συγκλητικοῖς, Ἀπέλθατε, ἕκαστος φυλάξει τὸν οἶκον αὐτοῦ. καὶ ἐξελθόντων αὐτῶν ὑπήντησεν ὁ δῆμος Ὑπατίῳ τῷ πατρικίῳ καὶ Πομπηΐῳ τῷ πατρικίῳ· καὶ ἔκραξαν, Ὑπάτιε Αὔγουστε, τοῦ βίγκας. καὶ λαβόντες οἱ δῆμοι τὸν αὐ- C τὸν πατρίκιον Ὑπάτιον εἰς τὸν φόρον Κωνσταντίνου, φοροῦντα ἄσπρον χλανίδιν, ἀναγαγόντες αὐτὸν ὕψος εἰς τοὺς βαθμοὺς τοῦ κίονος τῆς στήλης Κωνσταντίνου τοῦ βασιλέως ἤνεγκαν οἱ δῆμοι ἀπὸ τοῦ παλατίου Πλακιλλιανῶν οὕτω λεγομένου σίγνα βασιλικὰ ἀποκείμενα ἐκεῖσε, καὶ ἔβαλον εἰς τὴν κεφαλὴν τοῦ αὐτοῦ Ὑπατίου, καὶ μανιάκιον χρυσοῦν εἰς τὸν τράχηλον αὐτοῦ. καὶ τούτου γνωσθέντος τῷ βασιλεῖ, ἐσφαλίσθη τὸ παλάτιον, καὶ λαβόντα τὰ τοῦ δήμου πλήθη τὸν αὐτὸν Ὑπάτιον καὶ Πομπήιον τὸν πατρίκιον καὶ Ἰουλιανὸν τὸν ἀπὸ ἐπάρχων πραιτωρίων ἀπήγαγον τὸν αὐτὸν Ὑπάτιον εἰς τὸ βασιλικὸν κάθισμα, βουλόμενοι ἐκβαλεῖν ἐκ τοῦ παλατίου πορφύραν βασιλικὴν καὶ διάδημα καὶ D στέψαι αὐτὸν εἰς βασιλέα. καὶ ἔκραξεν αὐτῷ ὁ πᾶς δῆμος ὁ ὢν εἰς τὸ Ἱππικόν, Αὔγουστε Ὑπάτιε, τοῦ βίγκας. καὶ αὐτὸς Ὑπάτιος προθεωρῶν τὰ τοῦ δήμου ὅτι τρεπτοί εἰσι καὶ πάλιν ἐγ- R 782 V 270 κρατὴς γίνεται ὁ βασιλεύς, πέμψας λάθρα Ἐφραίμιον τὸν κανδιδᾶτον, ᾧτινι ἐθάῤῥει, δηλοῖ τῷ βασιλεῖ Ἰουστινιανῷ, Ἰδοὺ τοὺς ἐχθρούς σου πάντας ἐν τῷ Ἱππικῷ συνήγαγον· ὃ κελεύεις

1. σγαύδαρι] γάδαρε Ducangius. 8. ἀπέλθετε P. ib. φυλάξειν P, φυλάξει m. R. 8. ἀναγόντες P. 12. μανίκιον R, μανιάκην. μανιάκιον m. R. 14. καὶ Πομπήιον om. P. 18. πᾶς om. P.

vero clamitarunt: *Pejeras, Asine.* Imperator ad haecce siluit, et ex Circo abiit, statimque dimisit Palatinos Proceres, iisque dixit, *Abite, ut vestras aedes custodiatis.* Quibus digressis, occurrit populus Hypatio Patricio, et Pompeio Patricio, et acclamavit, *Hypati Auguste, tu vincas:* arreptumque Hypatium Patricium, Chlamyde indutum candida, in Forum Constantini sublimem usque ad gradus statuae Constantini Imperatoris deduxerunt. Tum vero Factiones ablatis ex Palatio Placillianarum, ita appellato, ubi asservabantur, Imperatoriis insignibus, iis induerunt caput ipsius Hypatii, torque etiam aureo collo aptato. Quod ubi Justiniano Imperatori est renuntiatum, Palatium clausum est. Factioni vero, Hypatio Patricio, et Juliano Ex-Praefecto Praetorio arreptis, ipsum Hypatium usque ad Imperatorium Thronum adduxere, ut allatis ex Palatio Imperatoria purpura, et diademate, illum in Imperatorem coronarent. Verum Hypatius, cum populorum mentem praevideret, eorumque levitatem, rursumque Justinianum rerum potiturum, misso clam Ephremio Candidato, cui fidebat inprimis, nuntiat Imperatori Justiniano: *Ecce*

ποίησον. ἀπελθόντος δὲ τοῦ αὐτοῦ Ἐφραϊμίου ἐν τῷ παλατίῳ, καὶ θελήσαντος εἰσελθεῖν καὶ εἰπεῖν τῷ βασιλεῖ τὴν ἀπόκρισιν, ἀπαντᾷ αὐτῷ Θωμᾶς τις ἀσηκρῆτις, ἰατρὸς ὢν τοῦ βασιλέως, πάνυ φιλούμενος παρ' αὐτοῦ, καὶ λέγει τῷ κανδιδάτῳ, Ποῦ εἰσ- P 339
έρχῃ; ἔσω οὐδείς ἐστιν· ὁ γὰρ βασιλεὺς ἀπῆλθεν ἀπ' αὐτοῦ. καὶ ὑποστρέψας Ἐφραΐμιος λέγει Ὑπατίῳ, Δέσποτα, μᾶλλον ὁ θεὸς θέλει σε βασιλεῦσαι· ὁ γὰρ Ἰουστινιανὸς ἔφυγεν, καὶ οὐδείς ἐστιν τῷ παλατίῳ. καὶ ταῦτα ἀκούσας ὁ Ὑπάτιος ἔδοξε θαρσαλεώτερος καθέζεσθαι ἐν τῷ δεσποτικῷ καθίσματι τοῦ Ἱππικοῦ καὶ ἀκούειν τὰς εἰς αὐτὸν εὐφημίας τοῦ δήμου καὶ τὰς ὑβριστικὰς φωνάς, ἃς ἔλεγον εἰς τὸν βασιλέα Ἰουστινιανὸν καὶ εἰς τὴν Αὔγουσταν Θεοδώραν. ἦλθαν δὲ καὶ ἀπὸ Κωνσταντιανῶν νεώτεροι Πράσινοι, φοροῦντες ζάβας, σν' οἵτινες νεώτεροι ἦλθον ὡπλισμένοι, ὑπολαβόντες ὅτι δύνανται ἀνοῖξαι τὸ παλάτιον καὶ B
εἰσαγαγεῖν αὐτὸν ἐν αὐτῷ. ὁ δὲ θειότατος βασιλεὺς Ἰουστινιανὸς ἀκηκοὼς τὰ περὶ τοῦ δήμου καὶ Ὑπατίου καὶ παρὰ Πομπηίου τολμηθέντα, εὐθέως ἀνῆλθεν διὰ τοῦ λεγομένου Κοχλίου εἰς τὰ λεγόμενα Πούλπιτα, ὄπισθεν τοῦ καθίσματος τοῦ Ἱππικοῦ, εἰς τὸν Τρίκλινον τὸν ἔχοντα τὰς χαλκᾶς θύρας, αἵτινες ἦσαν ἠσφαλισμέναι. ἦσαν δὲ μετ' αὐτοῦ τοῦ βασιλέως Μοῦνδος

3. τῷ αὐτῷ R. *ib.* ἀσηκρήτοις P. Ioannes Laurentius de magistr. Romanis p. 182. ἀσηκρῆτις τοὺς ἐπὶ τῶν σηκρήτων· οὐδὲ γὰρ ἀδσηκρῆτις κατὰ τοὺς ἰδιώτας ἐξ ἀνοίας μετὰ τοῦ δέλτα στοιχείου τῆς προθέσεως ἐπιβαλλομένης. 6. Εὐφραίμιος PV. 8. θαρσαλέως P. 12. ἦλθον P. *ib.* Κωνσταντινῶν R. 16. περὶ] παρὰ, omisso mox παρὰ, P sola. *ib.* καὶ alterum om. R. 19. Τρικλίνιον P. *ib.* τὰς om. P.

hostes tui universi in Circo collecti sunt, quod praecipis, exequere. Ephraemio ad Palatium pergenti, illudque volenti ingredi, ut quae sibi mandata erant exponeret, occurrit Thomas quidam a Secretis, quique Imperatoris erat Medicus, et ab eo praecipua quadam familiaritate colebatur, qui Candidatum adortus: *Quo*, inquit, *tendis: nemo intus est, Imperator quippe inde discessit.* Reversus Ephraemius renuntiat Hypatio: *Domine, Deus te potius vult imperare: fugit enim Justinianus, nec quisquam est in Palatio.* Quibus auditis, Hypatius visus est in Imperatorio Circi Tribunali fidentius considere, atque audire faustas in se populi factas acclamationes, et convitia quae in Justinianum Imperatorem e in Theodoram Augustam passim jactabantur. Venerunt quoque a Constantianis Juniores Prasini, loricas ducentas quinquaginta ferentes: et quidem armati accesserunt, rati se Palatium aperire posse, in illudque Hypatium introducere. Sacratissimus vero Imperator Justinianus, certior factus de populi, Hypatii, et Pompeii conatibus, extemplo ascendit per Cochleam, uti appellatur, in Pulpita, sic pariter dicta, pone Circi Tribunal: atque inde in Triclinium aereas habens januas, quae tum erant clausae. Aderant porro cum Imperatore Mundus, Constantiolus,

καὶ Κωνσταντίολος καὶ Βασιλείδης καὶ Βηλισάρις καὶ ἄλλοι τι-
νὲς συγκλητικοί. εἶχεν δὲ καὶ τὴν τοῦ παλατίου ἔνοπλον βοή-
θειαν μετὰ τῶν ἰδίων σπαθαρίων καὶ κουβικουλαρίων.
C Καὶ τούτων γενομένων Ναρσῆς ὁ κουβικουλάριος καὶ σπα-
θάριος ἐξελθὼν λαθραίως δι' ἑαυτοῦ καὶ τῶν ἀνθρώπων αὐτοῦ
ὑπέκλεψέ τινας τῶν τοῦ Βενέτου μέρους, ῥογεύσας χρήματα.
καὶ ἀποσχίσαντες ἤρξαντο κράζειν, Αὔγουστε Ἰουστινιανέ, τοῦ
βίγκας. κύριε, σῶσον Ἰουστινιανὸν καὶ Θεοδώραν. καὶ ὠλόλυ-
ξεν ἅπαν τὸ πλῆθος ἐν τῷ Ἱππικῷ. τινὲς δὲ τῶν ἐκ τοῦ Πρα-
σίνου μέρους ἀνασεισταὶ ὁρμήσαντες κατ' αὐτῶν ἐλιθοβόλουν αὐ-
τούς. καὶ λοιπὸν τρακταΐσαντες οἱ ἐν τῷ παλατίῳ ὄντες ἔλαβον
τὴν εὑρεθεῖσαν ἔσω βοήθειαν, ὑποκλέψαντες καὶ φανεροὺς τῶν
D ἐξκουβιτώρων καὶ σχολαρίων· ἦσαν γὰρ καὶ αὐτοὶ ἀποσχίσαντες
μετὰ τοῦ δήμου· καὶ ἐξελθόντες μετὰ τῶν ἰδίων αὐτῶν ἀνθρώ-
πων ὥρμησαν εἰς τὸ Ἱππικόν, ὁ μὲν Ναρσῆς διὰ τῶν θυρῶν, ὁ
R 784 δὲ υἱὸς Μούνδου διὰ τῆς σφενδόνης, καὶ ἄλλοι διὰ τοῦ μονο-
πόρτου τοῦ δεσποτικοῦ καθίσματος εἰς τὸ πέλμα, ἕτεροι δὲ διὰ
τῶν Ἀντιόχου καὶ τῆς λεγομένης Νεκρᾶς πόρτας. καὶ ἤρξαντο
κόπτειν τοὺς δήμους ὡς ἔτυχεν, ὥστε μηδένα τῶν πολιτῶν ἢ ξέ-
νων τῶν εὑρεθέντων ἐν τῷ Ἱππικῷ περισωθῆναι, ἐν οἷς ἐσφάγη
καὶ Ἀντίπατρος ὁ βίνδιξ Ἀντιοχείας τῆς Θεουπόλεως. εὐθέως
P 340 δὲ οἱ περὶ τὸν στρατηλάτην Βηλισάριν ἀνοίξαντες τὰς θύρας ἐπὶ

1. Βασιλίδης PV. ib. Βελισάριος P. 10. ἀνασεῖσαι P. 15. εἰς τὸ Ἱππικὸν om. P. 21. καὶ om. P. 22. δὲ om. P. ib. Βελισάριον P.

Basilides, Belisarius, aliique ex Senatoribus: habebatque armatum Palatii praesidium, cum suis Spathariis et Cubiculariis.

Cum haec ita se haberent, Narses Cubicularius et Spatharius clam egressus, tum per se, tum per suos homines, quosdam ex Veneta Factione sibi conciliavit, erogata pecunia. Ac tum seditiosi illi acclamare coepere: *Auguste Justiniane, tu vincas. Domine, serva Justinianum et Theodoram.* Flevitque universa plebs in Circo. Quidam vero de Prasinorum Factione, seditionem ac tumultum in illos concitare aggressi, ipsos lapidibus impetiere. Demum qui in Palatio erant, communicatis inter se consiliis, praesidium intus repertum sibi adjunxerunt, et clam Excubitoribus et Scholariis, qui aperte una cum populo ab Imperatoris partibus sese subduxerant, egressi cum suis copiis, irruperunt in Circum, ac Narses quidem per portas, filius vero Mundi per Sphendonem, alii per portam unicam Imperatorii Tribunalis in arenam: alii per locum Antiochi appellatum, et per portam, quam Mortuam vocant, coeperuntque Factiones sine discrimine concidere, adeo ut nemo vel ex civibus vel ex peregrinis, qui tum in Circo forte erant, evaserit: in quibus Antipater Antiochiae Theopoleos Vindex caesus occubuit. Extemplo qui cum Belisario erant, januis apertis, facto in Imperatorium Tri-

τὸ δεσποτικὸν κάθισμα ὁρμήσαντες μετὰ σπαθαρίων, καὶ συλ-
λαβόμενοι τὸν Ὑπάτιον μετὰ Πομπηίου τοῦ πατρικίου τοῦ αὐ-
τοῦ ἐξαδέλφου εἰσήγαγον τῷ βασιλεῖ Ἰουστινιανῷ. οἵτινες εἰσ-
ενεχθέντες προσέπεσαν, λέγοντες, Δέσποτα, πολὺς ἡμῖν κόπος V 271
ἐγένετο, ὥστε συναγαγεῖν τοὺς ἐχθροὺς τοῦ κράτους ὑμῶν εἰς τὸ
Ἱππικόν. καὶ λέγει αὐτοῖς ὁ βασιλεύς, Καλῶς ἐποιήσατε· ὅμως
παρ' ὃ ἐπείθοντο ὑμῖν κελεύουσιν αὐτοῖς, διὰ τί τοῦτο οὐκ ἐποι-
ήσατε πρὸ τοῦ πᾶσα ἡ πόλις καυθῇ; καὶ λέγει τοῖς εὐνούχοις
καὶ σπαθαρίοις αὐτοῦ καὶ Εὐλαλίῳ τῷ βαρβάτῳ καὶ τοῖς κανδι- B
δάτοις, Λάβετε αὐτοὺς καὶ ἀποκλείσατε. καὶ ἔλαβον αὐτοὺς
κάτω εἰς τὸ παλάτιον, καὶ ἀπέκλεισαν τὸν Ὑπάτιον καὶ τὸν Πομ-
πήιον μόνους. ἐσφάγησαν δὲ τῇ αὐτῇ ἡμέρᾳ εἰς τὸ παλάτιν,
ὡς λέγουσιν οἱ στοχασάμενοι, πολιτῶν καὶ ξένων ἀνδρῶν χιλιά-
δες λε΄. καὶ οὐκέτι ἐφάνη δημότης πού ποτε, ἀλλὰ γέγονεν ἡσυ-
χία ἕως ἑσπέρας.

Τῇ δὲ ἐπαύριον, ἥτις ἦν ἡμέρα δευτέρα μηνὸς τοῦ αὐτοῦ
αὐδυναίου ιθ΄, ἐσφάγησαν Ὑπάτιος καὶ Πομπήιος οἱ πατρίκιοι,
καὶ ἐρρίφησαν τὰ λείψανα αὐτῶν εἰς τὴν θάλασσαν. καὶ τὸ μὲν
Ὑπατίου λείψανον ἐφανερώθη παρὰ τὸν αἰγιαλόν, καὶ ἐκέλευσεν C
ὁ βασιλεὺς χωσθῆναι αὐτὸ εἰς τὸ μέσον τῶν λοιπῶν βιοθανάτων,
καὶ πλάκα τεθῆναι ἐπάνω τοῦ λειψάνου αὐτοῦ, ἐν ᾗ ἐπεγράφη,
Ἐνθάδε κατάκειται ὁ βασιλεὺς τῆς Λοῦππας.

7. κάρος P, εἰ m. R. 12. παλάτιν] ἱππικὸν P, m. R, παλάτιον R. 16. δὲ] τε PV.

bunal una cum Spathariis impetu, captum Hypatium cum Pompeio patrueli ad Imperatorem Justinianum adduxerunt, qui ad Imperatoris genua advoluti, dixere: *Domine, multum laboravimus, ut hostes vestrae Majestatis in Circum cogeremus.* Quibus Imperator, *Recte*, inquit, *fecistis: verum siquidem vobis jubentibus parebant, cur non hoc fecistis priusquam universa civitas conflagraret?* Tum Eunuchis ac Spathariis suis, atque Eulalio Barbato, et Candidatis, *Illos*, inquit, *arripite, et custodia includite.* Atque ii in inferiorem Palatii partem delatos, Hypatium et Pompeium solos incluserunt. Caesi sunt illa die in Circo, ut referunt qui numerum conjectarunt, ex civibus, vel hominibus peregrinis, tricies quinquies mille, nec quisquam amplius e Factionibus apparuit, sed summa quies fuit usque ad vesperam.

Postero die, feria scilicet secunda, ejusdem mensis Audynaei XIX. interfecti sunt Hypatius et Pompeius Patricii, ipsorumque corpora in mare projecta. Ac Hypatii quidem corpus in littore visum est: illudque praecepit Imperator inter eorum cadavera qui judicum decretis damnati violenta morte obierant terra obrui, ac supra illius corpus apponi tabulam, cui haecce verba inscripta sunt: Hic situs est Imperator Luppae.

Μεθ' ἡμέρας δὲ ἐκέλευσεν τοῖς αὐτοῦ λαβεῖν τὸ λείψανον αὐτοῦ καὶ θάψαι αὐτό. καὶ λαβόντες αὐτὸ οἱ αὐτοῦ ἔθαψαν εἰς τὸ μαρτύριον τῆς ἁγίας Μαύρας· τὸ δὲ Πομπηίου σῶμα οὐδαμοῦ ἐφανερώθη. τὰ δὲ διαφέροντα αὐτοῖς πάντα ἐδημεύθη. καὶ οἱ λοιποὶ πατρίκιοι οἱ ἅμα αὐτοῖς εὑρεθέντες ἔφυγον, οἱ μὲν R 786 D *εἰς μοναστήρια, οἱ δὲ εἰς εὐκτηρίους οἴκους, καὶ ἐσφραγίσθησαν οἱ οἶκοι αὐτῶν. φανεροὶ δὲ καὶ ἐδημεύθησαν καὶ ἐξωρίσθησαν. καὶ γέγονε φόβος βασιλικὸς πολύς. γνοὺς δὲ ὁ βασιλεὺς μετὰ ταῦτα τὴν δοθεῖσαν ἀπόκρισιν παρὰ Θωμᾶ τοῦ ἀσηκρῆτις Ἐφραϊμίῳ τῷ κανδιδάτῳ, τὸν μὲν Θωμᾶν ἀπεκεφάλισεν, Ἐφραΐμιον δὲ ἐξώρισεν εἰς Ἀλεξάνδρειαν τὴν μεγάλην.*

Καὶ τῇ κ' τοῦ αὐτοῦ αὐδυναίου μηνός, ἡμέρᾳ τρίτῃ, ἡσύχασεν πᾶσα Κωνσταντινούπολις, καὶ οὐδεὶς ἐτόλμησεν προσελθεῖν, ἀλλ' ἠνέῳξαν τὰ ἐργαστήρια μόνα τὰ παρέχοντα βρῶσιν καὶ πόσιν δεο- P 341 *μένοις ἀνθρώποις. καὶ ἔμειναν τὰ πράγματα ἄπρακτα καὶ Κωνσταντινούπολις ὑπῆρχεν ἀδοσόληπτος ἐπὶ ἡμέρας ἱκανάς.*

Ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς εὐθέως ἐδήλωσε τὴν ἑαυτοῦ νίκην εἰς τὰς ὑπὸ τὴν αὐτοῦ βασιλείαν πόλεις πάσας καὶ τὴν ἀναίρεσιν τῶν ἐπαναστάντων αὐτῷ τυράννων, ἐπιλαβόμενος κτίζειν σπουδαίως καὶ βέλτιον τὴν μεγάλην ἐκκλησίαν καὶ τὸ παλά-

9. ἀσηκρήτοις P. 12. μηνὸς Αὐδυναίου P. 13. πᾶσα ἡ Κ. P. 14. ἔχοντα P. 16. ἀσιτόληπτος P. „*Corruptus locus, nec expresse scriptum* ἀσιτόληπτος." Raderus. Conf. Ducang. v. δοσοληψία. 18. καὶ τὴν] (καὶ) P, om. R.

Post dies aliquot mandavit propinquis ejus ut illius funus tollerent, illudque sepelirent, quod ii inde sublatum, in aede Sanctae Maurae humo condiderunt. At Pompeii corpus nusquam apparuit. Bona vero illorum omnia publicata. Caeteri Patricii, qui cum iis inventi fuerant, alii in monasteria, alii in aedes sacras fuga evaserunt: quorum domus sunt obsignatae. Eorum autem qui manifeste iis adhaesisse sunt deprehensi, bona publicata, iique proscripti sunt. Exinde universos propter Imperatorem invasit terror. Is intellecta a Thoma a Secretis Ephraemio Candidato data responsione, Thomae caput amputari praecepit, Ephraemium vero Alexandriam magnam in exilium amandavit.

Ac die xx. ejusdem mensis Audynaei, Feria III. quievit omnis civitas Constantinopolitana: nec quisquam ausus est in publicum prodire. Sed Officinae duntaxat apertae sunt, quae egentibus cibum et potum subministrarent: manseruntque negotia omnia infecta, et Constantinopolis per aliquot dies inedia laboravit.

A. C. [Ol. Iph.]

Anni a m. c. Justinianus Imperator victoriam suam continuo per universas imperii sui civitates nuntiavit: atque ut insurgentes in se tyrannos sustulerit. Tum vero coepit magno studio instaurare Magnam Ecclesiam, et Pala-

τιον καὶ πάντας τοὺς καυθέντας τῆς πόλεως δημοσίους τόπους. ἔκτισε δὲ ἔνδον τοῦ παλατίου μαγκίπια καὶ ὅρια εἰς τὸ ἀποτίθεσθαι σῖτον. ὁμοίως δὲ καὶ κιστέρναν ὑδάτων διὰ τὰς δημοτικὰς περιστάσεις, κελεύσας τῷ ἐπάρχῳ τῆς πόλεως τιμωρήσασθαι τοὺς ἐκ τοῦ Βενέτου μέρους τοὺς συναινέσαντας τοῖς Πρασίνοις B καὶ τοῖς λοιποῖς μέρεσι κατ' αὐτοῦ.

τκη' Ὀλυμπιάς.

Ἰνδ. ι'. ε'. μετὰ ὑπ. Λαμπαδίου καὶ Ὀρέστου τὸ β'.
Ἰνδ. ια'. ς'. ὑπ. Ἰουστινιανοῦ Αὐγούστου τὸ δ' μόνον.

Τούτῳ τῷ ἔτει μηνὶ δίῳ κατὰ Ῥωμαίους νοεμβρίῳ, τῆς ιβ' ἰνδικτιῶνος, γέγονε σεισμὸς μέγας ἀβλαβὴς ἐν Κωνσταντινουπόλει, ἑσπέρας βαθείας, ὥστε πᾶσαν τὴν πόλιν συναχθῆναι εἰς V 272 τὸν φόρον Κωνσταντίνου καὶ λιτανεύειν καὶ λέγειν, Ἅγιος ὁ θεός, ἅγιος, ἰσχυρός, ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς. καὶ ἔμειναν πᾶσαν τὴν νύκτα ἀγρυπνοῦντες καὶ εὐχόμενοι. πρωίας δὲ γενομένης, ὁ πᾶς δῆμος τῶν λιτανευόντων C ἐξεβόησεν, Νικᾷ ἡ τύχη τῶν χριστιανῶν. ὁ σταυρωθείς, σῶσον ἡμᾶς καὶ τὴν πόλιν. Αὔγουστε Ἰουστινιανέ, τοῦ βίγκας. ἆρον, καῦσον τὸν τόμον τὸν ἐκτεθέντα ἀπὸ τῶν ἐπισκόπων τῆς συνόδου Χαλκηδόνος.

2. μαγκηπία PV, ἀρτοπωλεῖα m. R. 7. τκη' — β', omisso μετὰ et β' in γ' mutato, praefixoque Ἰνδ. θ'. δ' ὑπ. Λαμπαδίου καὶ Ὀρέστου τὸ β' ante p. 336. B πέμπτῳ ἔτει posuit Raderus. 17. νίκα PV.

tium, atque omnia civitatis aedificia, quae igne absumpta fuerant. At intra Palatium quidem Pistrina condidit, et horrea recondendo frumento: nec non aquarum Cisternam propter publicas necessitates. Praecepit etiam Praefecto Urbi, ut ex Veneta Factione eos puniret potissimum qui sese Prasinis adjunxerant, et reliquis Factionibus quae in se conspiraverant.

538. VI. Ind. XI. Justiniano Augusto IV. solo Cos. 1. 328. 6041.

Hoc anno, mense Dio, secundum Romanos, Novembri, XII. Indictione, factus est ingens terrae motus innocuus Constantinopoli, adulta jam vespera, ita ut civitas universa in Forum Constantini coiret, et supplicationes institueret, diceretque, *Sanctus Deus*, *Sanctus Fortis*, *Sanctus Immortalis*, *Qui crucifixus es pro nobis*, *miserere nobis*. Manseruntque tota nocte insomnes, precibus assidue vacantes. Cum diluculararet, universus supplicantium populus exclamavit: *Vincit Fortuna Christianorum. Crucifixe, serva nos, et urbem nostram. Auguste Justiniane, tu Vincas. Tolle, exure decretum editum ab Episcopis Synodi Chalcedonensis.*

R 788 Καὶ τῇ κʹ τοῦ αὐτοῦ δίου μηνός, τῆς ιβʹ ἰνδικτιῶνος, προ-
έθηκεν θεῖον αὐτοῦ γράμμα ὁ αὐτὸς βασιλεὺς Ἰουστινιανὸς ἐν
Κωνσταντινουπόλει, καταπέμψας καὶ ἐν τῇ πόλει Ῥώμῃ καὶ ἐν
Ἱεροσολύμοις καὶ ἐν τῇ μεγάλῃ τῶν Ἀντιοχέων Θεουπόλει τῆς
Συρίας καὶ ἐν τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων πόλει τῇ πρὸς Αἴγυ-
D πτον καὶ ἐν Θεσσαλονίκῃ τῇ πόλει τοῦ Ἰλλυριῶν ἔθνους καὶ ἐν
Ἐφέσῳ πόλει τῆς Ἀσίας τὸ αὐτὸ θεῖον αὐτοῦ γράμμα, ὅπερ εἶ-
χεν οὕτως.

Αὐτοκράτωρ Καῖσαρ Ἰουστινιανός, εὐσεβής, νικητής, τροπαιοῦχος, μέγιστος, ἀεισέβαστος, Αὔγουστος, πολίταις ἡμετέροις.

Τὸν σωτῆρα καὶ δεσπότην τῶν ἁπάντων Ἰησοῦν Χριστὸν τὸν
ἀληθινὸν ἡμῶν θεὸν θεραπεύειν διὰ πάντων σπουδάζομεν ὅσον
P 342 ἐνδέχεται νοῦν καταλαμβάνειν ἀνθρώπινον μιμεῖσθαι τὴν αὐτοῦ
συγκατάβασιν. καὶ εὑρόντες τινὰς τῇ νόσῳ καὶ μανίᾳ κρατουμένους Νεστορίου καὶ Εὐτυχοῦς τῶν ἐχθρῶν τοῦ θεοῦ καὶ τῆς ἁγιωτάτης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀρνουμένους τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν θεοτόκον εἰπεῖν κυρίως καὶ κατ' ἀλήθειαν, ἐσπουδάσαμεν τούτους τὴν ὀρθὴν τῶν χριστιανῶν διδαχθῆναι πίστιν. οἱ δὲ ἀνιάτως ἔχοντες καὶ κρύ-

1. τῆς om. P. *ib.* προσέθηκεν PV. 13. ἡμῶν om. P sola. *ib.* θεραπεύων P. *ib.* σπουδαζόμενος ὃν PV. Correxi ex Codice Iustin. p. 4. ed. Spangenb. 15. καὶ prius addidi ex Cod.

xx. ejusdem mensis Dii, XII. Indictione, sacram suam sanctionem publicavit Constantinopoli idem Imperator Justinianus: misitque Romam et Hierosolyma, et in magnam Antiochenorum urbem Theopolim Syriae, et in magnam urbem Alexandrinorum in Aegypto, et in Illyriorum gentis urbem Thessalonicam, et Ephesum urbem Asiae, illud ipsum sacrum suum rescriptum, hisce verbis conceptum.

Imperator Caesar Justinianus, Pius, Victor, Triumphator, Maximus, Semper Augustus, civibus nostris salutem.

„Cum Salvatorem, et Dominum omnium Jesum Christum verum Deum nostrum colamus per omnia, studemus etiam (quatenus datum est humanae menti assequi) imitari ejus condescensionem seu demissionem."

„Etenim cum quosdam invenerimus morbo atque insania detentos impiorum Nestorii, et Eutychis, Dei et Sanctae Catholicae et Apostolicae Ecclesiae hostium, nempe qui detrectabant sanctam gloriosam semper Virginem Mariam Theotocon sive Deiparam appellate proprie, et secundum veritatem, illos festinavimus, quae sit recta Christianorum fides edocere. Nam hi incurabiles cum sint, celantes errorem suum, pas-

πτοντες τὴν ἑαυτῶν πλάνην, περιέρχονται, καθὰ μεμαθήκαμεν, τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐκταράττοντες καὶ σκανδαλίζοντες καὶ ἐναντία τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας B λέγοντες. ἀναγκαῖον τοίνυν ἐνομίσαμεν καταλῦσαι μὲν τὰς τῶν αἱρετικῶν ψευδολογίας, σαφηνίσαι δὲ πᾶσιν ὅπως δοξάζει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. κηρύττουσι δὲ οἱ αὐτῆς ὁσιώτατοι ἱερεῖς, οἷς καὶ ἡμεῖς ἑπόμενοι φανερὰ καθιστῶμεν τὰ περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, οὐ καινίζοντες πίστιν, μὴ γένοιτο, ἀλλ' ἐλέγχοντες τὴν μανίαν τῶν φρονούντων τὰ τῶν ἀσεβῶν αἱρετικῶν, ὅπερ καὶ ἤδη ἐν τοῖς προοιμίοις τῆς ἡμετέρας βασιλείας πράξαντες πᾶσι κατάδηλον ἐποιήσαμεν. C

Πιστεύομεν γὰρ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ εἰς τὸ ἅγιον πνεῦμα, μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦντες, μίαν θεότητα, μίαν δύναμιν, τριάδα ὁμοούσιον. ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν R 790 ὁμολογοῦμεν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, τὸν ἐκ V 273 θεοῦ ἀληθινοῦ, τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, τὸν συναΐδιον τῷ πατρί, τὸν ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου D καὶ τῆς ἁγίας ἐνδόξου ἀειπαρθένου καὶ θεοτόκου Μαρίας καὶ ἐνανθρωπήσαντα σταυρόν τε ὑπομεῖναι ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου

3. καὶ prius addidi ex Cod. 4. παραλῦσαι P sola. 7. αὐτῆς] αὐτοὶ V. 15. δὲ om. P. 18. οὗ τὰ] οὗ P.

sim circumeunt, (sicut didicimus) et simpliciorum animos exturbant et scandalizant, ea astruentes, quae sunt sanctae Catholicae Ecclesiae contraria. Necessarium igitur esse putavimus, tam haereticorum vaniloquia et mendacia dissipare, quam omnibus insinuare, quomodo aut sentiat sancta Dei, et Catholica et Apostolica Ecclesia, aut praedicent sanctissimi ejus Sacerdotes: quos et nos secuti, manifesta constituimus ea, quae fidei nostrae sunt: non quidem innovantes fidem (quod absit) sed coarguentes eorum insaniam, qui eadem cum impiis haereticis sentiunt. Quod quidem et nos in nostri imperii primordiis pridem satagentes cunctis fecimus manifestum."

„Credimus itaque in unum Deum Patrem omnipotentem, et in unum Dominum Jesum Christum filium Dei, et in Spiritum sanctum, unam essentiam in tribus hypostasibus, sive subsistentibus personis, adorantes unam Deitatem, unam Potestatem, Trinitatem consubstantialem. In ultimis autem diebus confitemur Dominum nostrum Jesum Christum unigenitum Dei Filium ex Deo vero Deum verum, ante saecula, et sine tempore ex patre natum: coaeternum patri, ex quo omnia, et per quem omnia, qui descendit de coelis, incarnatus de Spiritu sancto, et sancta gloriosa et semper Virgine Maria, et inhumanatus, sive homo factus est, et passus crucem pro nobis sub Pontio Pilato, sepultus est, et resurrexit ter-

Πιλάτου καὶ ταφῆναι καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, ἑνὸς καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, γινώσκοντες. οὐ γὰρ ἄλλον τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα, τὸν ἕνα καὶ τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀν-
P 343 θρωπότητα, τὴν δὲ καθ' ὑπόστασιν ἑνότητα δεχόμεθα καὶ ὁμολογοῦμεν. ἔμεινε γὰρ τριὰς ἡ τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς τριάδος θεοῦ λόγου· οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία τριάς. τούτων τοίνυν οὕτως ἐχόντων, ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας, τοὺς διαιροῦντας τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, καὶ μὴ ὁμολογοῦντας κυρίως καὶ κατὰ ἀλήθειαν τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν θεοτόκον, τουτέστι μητέρα θεοῦ, ἀλλὰ δύο υἱοὺς λέγοντας, ἄλλον μὲν τὸν ἐκ
B πατρὸς θεὸν λόγον, ἄλλον δὲ τὸν ἐκ τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου Μαρίας, χάριτι δὲ καὶ σχέσει καὶ οἰκειώσει τῇ πρὸς τὸν θεὸν λόγον καὶ θεὸν αὐτὸν γεγενῆσθαι ἀρνουμένους, καὶ μὴ ὁμολογοῦντας τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ σταυρωθέντα ἕνα εἶναι τῆς ὁμοουσίου τριάδος. οὗτος γὰρ μόνος

2. τοῦ αὐτοῦ] αὐτοῦ P. 4. τὸν αὐτὸν] αὐτὸν P. 10. τὸν om. P. ib. ἀνθρωπολάτριν PV. Illud Cod. 14. ἀειπαρθένον om. P. 18. γεγεννῆσθαι V.

tio die. Unius ac ejusdem passiones et miracula, quae sponte pertulit in carne, agnoscentes. Non enim alium Deum Verbum, et alium Christum novimus, sed unum et eundem, consubstantialem Patris secundum Deitatem, et consubstantialem nobis secundum humanitatem. Ut enim est in Divinitate perfectus, ita idem ipse et perfectus est in humanitate. Nam ejus secundum hypostasim seu secundum personam unitatem suscipimus, et confitemur: mansit enim Trinitas Trinitas, et post incarnatum unum ex Trinitate Dei Verbum: neque enim quartae personae adjectionem admittit sancta Trinitas. His ita se habentibus, anathematizamus omnem haeresin, praecipue vero *Nestorium* anthropolatram, et qui eadem cum ipso sentiunt, vel senserunt, qui dividunt unum Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum, et qui non confitentur proprie, et secundum veritatem sanctam gloriosam, et semper Virginem Mariam Theotocon seu Deiparam, id est, Dei matrem: sed qui duos Filios dicunt, unum ex Deo Patre Deum Verbum, alterum ex sancta semper virgine Deipara Maria, gratia et habitudine, et propinquitate, quam cum Deo Verbo habet, natum esse: et qui negant, nec confitentur Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum incarnatum, et hominem factum, et crucifixum, unum esse ex sancta, et

ἐστὶν ὁ συμπροσκυνούμενος καὶ συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι.

Ἀναθεματίζομεν δὲ καὶ Εὐτυχέα τὸν φρενοβλαβῆ καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας, τοὺς φαντασίαν εἰσάγοντας, C ἀρνουμένους δὲ τὴν ἐκ τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου R 792 Μαρίας ἀληθινὴν σάρκωσιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν τὴν ἡμετέραν σωτηρίαν, καὶ μὴ ὁμολογοῦντας αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα. τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀπολλινάριον τὸν ψυχοφθόρον καὶ τοὺς τὰ αὐτοῦ φρονήσαντας ἢ φρονοῦντας τοὺς ἄνθρωπον μόνον λέγοντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, καὶ σύγχεσιν ἤτοι φυρμὸν εἰσάγοντας τῇ ἐνανθρωπήσει τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, καὶ πάντας τοὺς τὰ αὐτῶν φρονήσαντας D ἢ φρονοῦντας.

Τὸ ἴσον δὲ τούτου οἱ ἐπίσκοποι πάντες ἔλαβον ἐν ταῖς ἰδίαις πόλεσι, καὶ προέθηκαν ἐν ταῖς ἐκκλησίαις.

Ἰνδ. ιβʹ. ζʹ. ὑπ. Ἰουστινιανοῦ Αὐγούστου τὸ εʹ καὶ Παυλίνου. V 274

Ἐπὶ τούτων τῶν ὑπάτων ὁ Ἰουστινιανὸς κῶδιξ ἀνενεώθη, προστεθεισῶν αὐτῷ καὶ τῶν μετ' αὐτὸν διατάξεων. καὶ ἐκελεύ- P 344

10. φρονοῦντας ἢ φρονήσαντες P. ib. ἀνθρώπων P. 12. ἀνθρωπήσει P.

consubstantiali Trinitate. Ipse enim solus est coadorandus et conglorificandus Patri et sancto Spiritui."

A. C. [Ol. Iph.]

„Anathematizamus insuper, et *Eutychem*, mente captum, et qui cum eo sentiunt, aut senserunt, qui phantasiam introducunt, negantque veram nativitatem, seu generationem Domini, et Salvatoris nostri Jesu Christi ex sancta Virgine et Deipara, hoc est, nostram salutem, et qui non confitentur ipsum consubstantialem Patri secundum Deitatem, et consubstantialem nobis secundum humanitatem. Similiter autem anathematizamus, et *Apollinarium* psychophthoron, sive animicidam, et qui cum eo sentiunt, vel senserunt, qui dicunt inanimem, hoc est animae humanae expertem, esse Dominum nostrum Jesum Christum Filium Dei, et Deum nostrum, et qui confusionem, aut conturbationem introducunt, et invehunt in unigeniti Dei Filii inhumanationem sive humanitatem: et omnes postremo, qui eadem cum ipso senserunt, aut sentiunt."

Exemplum autem hujus edicti omnes Episcopi in suis civitatibus acceperunt, et in Ecclesiis suis promulgarunt.

534. VII. Ind. XII. Justiniano Augusto V. et Paulino Coss. 2. 6042.

His Coss. renovatus est Justinianus Codex, eidem adjunctis post illius editionem factis constitutionibus: jussumque est, ut priore illa edi-

σθη τῆς προτέρας ἐκδόσεως σχολαζούσης αὐθεντεῖσθαι ἀπὸ τῆς πρὸ δ' καλανδῶν ἰανουαρίων ἰνδικτιῶνος ιγ'.

Ἰνδ. ιγ'. η'. ὑπ. Βηλισαρίου μόνου.

τκθ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. θ'. ὑπ. Βηλισαρίου μόνου.

Ἰνδ. ιε'. ι'. ὑπ. Βηλισαρίου τὸ β' μόνου.

Ἰνδ. α'. ια'. ὑπ. Ἰωάννου μόνου.

Ἰνδ. β'. ιβ'. ὑπ. Ἀπίωνος, υἱοῦ Στρατηγίου, μόνου.

B τλ' Ὀλυμπιάς.

Ἰνδ. γ'. ιγ'. ὑπ. Ἰουστίνου νέου μόνου.

Ἰνδ. δ'. ιδ'. ὑπ. Βασιλείου μόνου.

Ἰνδ. ε'. ιε'. μετὰ ὑπ. Βασιλείου μόνου.

Ἰνδ. ς'. ις'. μετὰ ὑπ. Βασιλείου τὸ β' μόνου.

τλα' Ὀλυμπιάς.

Ἰνδ. ζ'. ιζ'. μετὰ ὑπ. Βασιλείου τὸ γ' μόνου.

Ἰνδ. η'. ιη'. μετὰ ὑπ. Βασιλείου τὸ δ' μόνου.

C Ἰνδ. θ'. ιθ'. μετὰ ὑπ. Βασιλείου τὸ ε' μόνου.

3. Βελισ. P. ib. μόνου] μόνου α' P. 5. μόνου] μόνου β' P. 6. τὸ β' μόνου] μόνου γ' P. 12. μόνου α' P. 13. τὸ β' μόνου] μόνου β' P, et sic deinceps praeter p. seq. v. 8., ubi consentit cum V.

tione antiquata, vim et auctoritatem obtineret ab a. d. IV. Kal. Jan. Indictionis XIII.

A. C.				[Ol. Iph.]
535.	VIII.	Ind. XIII.	Bilisario solo Cos.	3.
			CCCXXIX. Olympias.	
536.	IX.	Ind. XIV.	Bilisario II. solo Cos.	4.
537.	X.	Ind. XV.	Bilisario III. solo Cos.	1. 329.
538.	XI.	Ind, I.	Joanne solo Cos.	2.
539.	XII.	Ind. II.	Apione, filio Strategii, solo Cos.	3.
			CCCXXX. Olympias.	
540.	XIII.	Ind. III.	Justino Juniore solo Cos.	4.
541.	XIV.	Ind. IV.	Basilio solo Cos.	1. 330.
542.	XV.	Ind. V.	Post Consulatum Basilii I. solius.	2.
543.	XVI.	Ind. VI.	Post Cons. Basilii II. solius.	3.
			CCCXXXI. Olympias.	
544.	XVII.	Ind. VII.	Post Cons. Basilii III. solius.	4.
545.	XVIII.	Ind. VIII.	Post Cons. Basilii IV. solius.	1. 331.
546.	XIX.	Ind. IX.	Post Cons. Basilii V. solius.	2.

Ἰνδ. ι'. κ'. μετὰ ὑπ. Βασιλείου τὸ ς' μόνον.

τλβ' Ὀλυμπιάς. R 794

Ἰνδ. ια'. κα'. μετὰ ὑπ. Βασιλείου τὸ ζ' μόνον.
Ἰνδ. ιβ'. κβ'. μετὰ ὑπ. Βασιλείου τὸ η' μόνον.
Ἰνδ. ιγ'. κγ'. μετὰ ὑπ. Βασιλείου τὸ θ' μόνον.
Ἰνδ. ιδ'. κδ'. μετὰ ὑπ. Βασιλείου τὸ ι' μόνον.

τλγ' Ὀλυμπιάς. D

Ἰνδ. ιε'. κε'. μετὰ ὑπ. Βασιλείου τὸ ια' μόνον.

Τούτῳ τῷ κε' ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας μετὰ τὴν ὑπατείαν Φλ. Βασιλείου τὸ ια' μόνον γέγονεν ἡ ε' σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ τῶν δυσσεβῶν καὶ μυσαρῶν καὶ ἀκαθάρτων καὶ ἀλλοτρίων τοῦ χριστιανισμοῦ ἑλληνικῶν δογμάτων Ὠριγένους καὶ Διδύμου καὶ Εὐαγρίου τῶν θεομάχων καὶ Θεοδώρου τοῦ δυσσεβοῦς καὶ τῶν Ἰουδαϊκῶν αὐτοῦ συγγραμμάτων καὶ τῆς ἀκαθάρτου ἐπιστολῆς τῆς πρὸς Μάριν τὸν Πέρσην Ἴβα λεγομένης καὶ τῶν μωρῶν συγγραμμάτων Θεοδωρήτου τῶν κατὰ τῶν ιβ' P 345 κεφαλαίων Κυρίλλου τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ διδασκάλου.

Ἐν ὀνόματι τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ μονογενοῦς αὐτοῦ V 275 υἱοῦ Ἰησοῦ Χριστοῦ κυρίου ἡμῶν καὶ τοῦ ἁγίου πνεύματος

9. κε' om. P. 10. Φλ. VP sola, φιλοχρίστου m. V, R. 15. Μάρην PV. Conf. p. 294. A, 362. A. 16. κατὰ ιβ' R. 18. Praeponit P Πρόγραμμα, ἤτοι διδασκαλία καὶ ἔκδοσις ἀκριβὴς περὶ τῆς ἀμωμήτου καὶ ὀρθοδόξου πίστεως ἡμῶν τῶν χριστιανῶν, quae V habet in m. ab alia manu.

547. xx. Ind. x. Post Cons. Basilii VI. solius. 3.

CCCXXXII. Olympias.

548. xxi. Ind. xi. Post Cons. Basilii VII. solius. 4.
549. xxii. Ind. xii. Post Cons. Basilii VIII. solius. 1. 332.
550. xxiii. Ind. xiii. Post Cons. Basilii IX. solius. 2.
551. xxiv. Ind. xiv. Post Cons. Basilii X. solius. 3.

CCCXXXIII. Olympias.

552. xxv. Ind. xv. Post Cons. Basilii XI. solius. 4.

Hoc anno imperii Justiniani, post Consulatum Fl. Basilii XI. solius, celebrata est Synodus Constantinopoli contra impia, execranda, impura, et a Christiana religione prorsus aliena pagana dogmata Origenis ac Didymi et Evagrii, perduellium Dei, et Theodori impii, ac illius scripta Judaica, et impuram Epistolam ad Maren Persam Iba dictam, ac inepta Theodoreti scripta adversus xii. capita Cyrilli sanctissimi Patris nostri et Doctoris.

Edictum, sive Doctrina et accurata expositio immaculatae ac rectae fidei nostrae Christianae.

In nomine Dei et Patris, et unigeniti ipsius Filii Jesu Christi Domini nostri, et sancti Spiritus, Imperator Caesar Christi amans, Justinia-

B αὐτοκράτωρ, Καῖσαρ, Φλ. Ἰουστινιανός, Ἀλαμανικός, Γοτθικός, Φραγκικός, Γερμανικός, Ἀντικός, Ἀλανικός, Οὐανδαλικός, Ἀφρικανός, εὐσεβής, εὐτυχής, ἔνδοξος, νικητής, τροπαιοῦχος, ἀεισέβαστος, Αὔγουστος, παντὶ τῷ πληρώματι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Εἰδότες ὡς οὐδὲν οὕτω θεραπεύει τὸν φιλάνθρωπον θεὸν ὡς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν πάντας τοὺς χριστιανοὺς περὶ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν καὶ μὴ εἶναι σχίσματα ἐν τῇ ἁγίᾳ
R 796 C τοῦ θεοῦ ἐκκλησίᾳ, ἀναγκαῖον ἡγησάμεθα πᾶσαν πρόφασιν ἀναιροῦντες τοῖς σκανδαλιζομένοις ἢ σκανδαλίζουσι τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν τὴν ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ κηρυττομένην φανερὰν διὰ τοῦ παρόντος ἠδίκτου ποιήσασθαι πρὸς τὸ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ὁμολογοῦντας ἐν βεβαίῳ ταύτην φυλάττειν καὶ τοὺς πρὸς ταύτην φιλονεικοῦντας μανθάνοντας τὴν ἀλήθειαν σπουδάσαι ἑνωθῆναι τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ.

Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα ἤτοι φύσιν καὶ οὐσίαν
D καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν ἤτοι προσώποις δοξάζοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ οἷς συντεταγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. μονάδα γὰρ ἐν τριάδι καὶ τριάδα ἐν μονάδι προσκυνοῦμεν, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν.

1. φιλόχριστος P. Φλ. V, alterum in margine ponens. ib. Γοθικός, Φραγικός V.

nus, Alamanicus, Gotthicus, Francicus, Germanicus, Anticus, Alanicus, Wandalicus, Africanus, Pius, Felix, Inclytus, Victor, Triumphator, Semper venerabilis, Augustus, universo coetui Catholicae et Apostolicae Ecclesiae.

„Scientes quod nihil aliud sic potest misericordem Deum placare, quam ut omnes Christiani unum idemque sapiant in recta et immaculata fide, nec sint dissensiones in sancta Dei Ecclesia: necessarium putavimus, omnem occasionem interimentes eis qui scandalizantur, vel qui scandalizant, rectae fidei confessionem, quae in sancta Dei Ecclesia praedicatur, praesenti edicto facere manifestam: ut et illi qui rectam fidem confitentur, firmiter eam custodiant: et illi qui adversus eam contendunt, discentes veritatem, festinent semetipsos unire sanctae Dei Ecclesiae."

„Confitemur igitur credere in Patrem, et Filium, et Spiritum sanctum, Trinitatem consubstantialem, unam Deitatem, sive naturam et substantiam et virtutem et potestatem in tribus subsistentiis sive personis adorantes, in quibus baptizati sumus, in quas credimus, in quibus condimus, in fessionem dedimus, proprietates quidem separantes, Deitatem autem unientes. Unitatem enim in Trinitate, et Trinitatem in unitate adoramus, mirabilem habentem et divisionem et unitionem: unitatem quidem, secun-

n quae credimus, in qua baptizati sumus,

μονάδα μὲν κατὰ τὸν τῆς οὐσίας, ἤγουν θεότητος λόγον, τριάδα δὲ κατὰ τὰς ἰδιότητας, ἤγουν ὑποστάσεις ἤτοι πρόσωπα. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵνα οὕτως εἴπωμεν, καὶ συνάπτεται
διῃρημένως. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν, ἐν οἷς P 346
ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης, θεὸν ἕκαστον, ἂν θεωρεῖται μόνον, τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ αὐτῷ τῆς κινήσεως καὶ τῆς φύσεως. ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν ὁμολογεῖν καὶ τὰς τρεῖς ὑποστάσεις κηρύττειν, ἤγουν τρία πρόσωπα, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος, καὶ οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμεθα κατὰ
Σαβέλλιον, ἓν πρόσωπον τριώνυμον λέγοντα τὴν τριάδα, τὸν V 276
αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὔτε διαιροῦντες ἀλ-
λοτριοῦμεν τῆς τοῦ θεοῦ πατρὸς οὐσίας τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ B
ἅγιον, κατὰ τὴν Ἀρείου μανίαν εἰς τρεῖς διαφόρους οὐσίας κατατέμνοντες τὴν θεότητα.

Εἷς τοίνυν θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς υἱὸς μονογενής, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα. ὁμολογοῦμεν δὲ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, θεὸν λόγον τὸν πρὸ αἰώνων, καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα,
οὐ ποιηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν R 798
ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα
ἐκ πνεύματος ἁγίου καὶ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρ- C

7. τῷ τ' αὐτῷ V. 8. ὁμολογεῖν om. P. 10. μετὰ Σαβελλίου P. 16. εἷς] εἰ in codice invenerat Raderus. 20. τῶν om. P.

dum rationem substantiae seu Deitatis: Trinitatem autem, secundum proprietates, vel subsistentias, sive personas. Dividitur enim sine divisione, (ut sic dicamus) et conjungitur divise. Unum enim est Deitas in tribus, et tria unum, in quibus Deitas est: aut (ut subtilius dicamus) ipsa tria est Deitas, quae tria Deus Pater, Deus Filius, Deus Spiritus sanctus, cum unaquaeque persona solum intelligitur, mente separante inseparabilia, et tria unus Deus, cum simul intelliguntur propter eamdem virtutem, eamdemque naturam: quoniam oportet et unum Deum confiteri, et tres subsistentias praedicare, seu tres personas, et unamquamque cum sua proprietate. Et unitatem confitentes, confusionem non facimus secundum Sabellium, dicentem, Trinitatem unam esse personam trinomium eumdem Patrem, et Filium, et Spiritum sanctum: nec dividentes proprietates, alienamus a Dei Patris substantia Filium et Spiritum sanctum, secundum Arii furorem, in tres diversas naturas incidentes Deitatem."

[Margin: et quibus conf. — quae tria, desunt in cod. Colb. — trionymum — Arrii — incidentis]

„Unus igitur Deus Pater, ex quo omnia: et unus unigenitus Filius, per quem omnia: et unus Spiritus sanctus, in quo omnia. Confitemur autem ipsum unigenitum Filium Dei, Deum Verbum, ante saecula et sine tempore ex Patre natum, non factum, in ultimis diebus propter nos et propter nostram salutem descendisse de coelis, et incarnatum esse ex

θένου Μαρίας καὶ γεννηθέντα ἐξ αὐτῆς, ὅς ἐστιν κύριος Ἰησοῦς Χριστός, εἷς τῆς ἁγίας τριάδος, ὁμοούσιος τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, παθητὸς σαρκί, ἀπαθὴς ὁ αὐτὸς θεότητι. οὔτε γὰρ ἕτερός τίς ἐστιν παρὰ τὸν λόγον ὁ τὸ πάθος καὶ τὸν θάνατον ἀναδεδεγμένος, ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ ἀΐδιος τοῦ θεοῦ λόγος γεννήσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος τὰ πάντα πεπλήρωκεν. διὸ οὐκ ἄλλον τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν
D αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, ὁμολογοῦμεν. οὔτε γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν, ἀλλ' αὐτὸς ὁ λόγος τὸ ἴδιον σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπὶς ἡμῶν ᾖ, ἀλλ' εἰς αὐτὸν τὸν θεὸν λόγον τὴν ἡμετέραν πίστιν ἔχωμεν. καὶ θεὸν τοίνυν αὐτὸν ὁμολογοῦντες οὐκ ἀθετοῦμεν τὸ εἶναι αὐτὸν καὶ ἄνθρωπον, καὶ ἄνθρωπον λέγοντες
P 347 αὐτὸν οὐκ ἀρνούμεθα τὸ εἶναι αὐτὸν καὶ θεόν. εἰ γὰρ θεὸς μόνον ἦν, πῶς ἔπασχεν, πῶς ἐσταυροῦτο καὶ ἀπέθνησκεν; ἀλλότρια γὰρ ταῦτα θεοῦ. εἰ δὲ ἄνθρωπος μόνον, πῶς διὰ τοῦ πάθους ἐνίκα, πῶς ἔσωζε, πῶς ἐζωοποίει; ταῦτα γὰρ ὑπὲρ ἄνθρωπον ἦν. νῦν δὲ ὁ αὐτὸς πάσχει καὶ σώζει, καὶ διὰ τοῦ πά-

22. ὁ om. P.

Spiritu sancto, et sancta gloriosa Dei genitrice semper Virgine Maria, et natum ex ipsa, qui est Dominus Jesus Christus, unus de sancta Trinitate, consubstantialis Deo Patri secundum Deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, passibilis carne, impassibilis idem ipse Deitate. Non enim alius quidam est praeter Deum Verbum, qui passionem et mortem suscepit: sed ipse impassibilis et sempiternus Deus Verbum generationem carnis humanae sustinere dignatus, implevit omnia. Ideo non alium Deum Verbum esse qui miracula operatus est, et alium Christum qui passus est, cognoscimus: sed unum eundemque Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum, et hominem factum, et ejusdem ipsius miracula et passiones, quas carne voluntarie sustinuit, confitemur. Non enim homo aliquis pro nobis semetipsum dedit, sed ipse Deus Verbum suum corpus pro nobis dedit, ne in hominem fides et spes nostra sit, sed in ipsum Deum Verbum nostram fidem habeamus. Et Deum igitur eum confitentes, non abnegamus ipsum esse et hominem: et hominem dicentes eum, non abnegamus ipsum esse et Deum. Si enim Deus tantummodo esset, quomodo patiebatur? quomodo crucifigebatur et moriebatur? Aliena enim ista sunt Deo. Sin autem homo solum, quomodo per passionem vincebat? quomodo salvos faciebat? quomodo vivificabat? Haec enim supra hominis naturam erant. Nunc au-

θους νικᾷ, ὁ αὐτὸς θεός, ὁ αὐτὸς ἄνθρωπος, τὸ συναμφότερον,
οὕτως ἓν ἑκάτερον ὡς μόνον. ὅθεν ἐξ ἑκατέρας φύσεως, του-
τέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἕνα Χριστὸν σύνθετον λέ-
γοντες σύγχυσιν τῇ ἑνώσει οὐκ ἐπεισάγομεν, καὶ ἐν ἑκατέρᾳ δὲ B
φύσει, τουτέστιν ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι, τὸν ἕνα κύ-
ριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ
ἐνανθρωπήσαντα γινώσκοντες, καὶ διαίρεσιν μέν τινα ἀμερὸς ἢ
τομὴν οὐκ ἐπιφέρομεν τῇ μιᾷ αὐτοῦ ὑποστάσει, τὴν δὲ διαφορὰν R 800
τῶν φύσεων ἐξ ὧν καὶ συνετέθη σημαίνομεν οὐκ ἀνῃρημένην διὰ
τὴν ἕνωσιν, ἐπειδὴ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ. συνθέσεως
γὰρ ὁμολογουμένης, καὶ τὰ μέρη ἐν τῷ ὅλῳ ὑπάρχει καὶ τὸ ὅλον V 277
ἐν τοῖς μέρεσι γινώσκεται. οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀν-
θρωπίνην μετεβλήθη οὔτε δὲ ἡ ἀνθρωπίνη φύσις εἰς τὴν C
θείαν ἐτράπη, νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκα-
τέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ τε καὶ λόγῳ, πεπρᾶχ-
θαί φαμεν τὴν ἕνωσιν καθ' ὑπόστασιν. ἡ δὲ καθ' ὑπόστα-
σιν ἕνωσις δηλοῖ ὅτι ὁ θεὸς λόγος, τουτέστιν ἡ μία ὑπόστασις,
ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων οὐ προϋποστάντι ἀνθρώ-
πῳ ἡνώθη, ἀλλ' ἐν τῇ γαστρὶ τῆς ἁγίας παρθένου ἐδημιούργη-
σεν ἐν ἑαυτῷ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἐψυχωμένην
ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ ἐστὶν φύσις ἀνθρωπίνη. ταύτην

2. οὕτως] ὡς P. 4. δὲ om. P. 7. ἀμερὲς P, ἀνὰ μέρος m. P. 8. αὐτοῦ θεοῦ P, αὐτοῦ τοῦ θεοῦ R. 9. καὶ om. P. 13. δὲ om. P. 20. ἐμψυχομένην P. ἐχομένην apographum Leonclavii Iuris Graecor. vol. I. p. 523.

tem idem ipse patitur, et salvos facit, et per passionem vincit, idem ipse Deus, ipse homo, utrumque tamquam unum, utrumque tamquam solum. Unde ex utraque natura, id est, ex Deitate et humanitate unum Christum compositum dicentes, confusionem unitioni non introducimus. Et in utraque autem natura, id est, in Divinitate et humanitate, unum Dominum nostrum Jesum Christum Dei Verbum incarnatum, et hominem factum cognoscentes, divisionem quidem per partes, vel incisionem non inferimus uni ejus subsistentiae: differentiam autem naturarum, ex quibus compositus est, significamus, non interemptam propter unitatem, quoniam utraque natura in ipso est. Cum enim compositionem dicamus, necesse est confiteri et partes in toto esse, et totum in partibus cognosci. Nec enim divina natura in humanam transmutata est, nec humana natura in divinam conversa est. Magis autem intelligitur, quod utraque in proprietate et ratione suae naturae manente, facta est unitas secundum subsistentiam. Unitas autem secundum subsistentiam significat, quod Deus Verbum, id est, una subsistentia ex tribus Deitatis subsistentiis, non ante plasmato homini unitus est, sed in utero sanctae Virginis creavit sibi ex ipsa in sua subsistentia carnem animatam anima rationali et intellectuali, quod est natura humana. Hanc autem secundum subsistentiam unitatem

D δὲ τὴν καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ἕνωσιν διδάσκων ἡμᾶς καὶ ὁ θεῖος ἀπόστολος λέγει, Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. διὰ γὰρ τοῦ εἰπεῖν Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων τὴν τοῦ λόγου ὑπόστασιν ὑπάρχουσαν ἔδειξεν ἐν οὐσίᾳ θεοῦ, διὰ δὲ τοῦ εἰπεῖν Μορφὴν ἔλαβεν οὐσίᾳ ἀνθρώπου, καὶ οὐχ ὑποστάσει ἤτοι προσώπῳ ἑνωθῆναι τὸν θεῖον λόγον ἐσήμανεν. οὔτε γὰρ εἶπεν Τὸν ἐν μορφῇ δούλου ὑπάρχοντα ἔλαβεν, ἵνα μὴ προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι δείξῃ τὸν λόγον,
P 348 καθὼς Θεόδωρος καὶ Νεστόριος ἀσεβοῦντες ἐβλασφήμησαν, σχετικὴν τὴν ἕνωσιν λέγοντες.

Ἡμεῖς δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἁγίοις πατράσιν ἑπόμενοι ὁμολογοῦμεν ὅτι ὁ θεὸς λόγος σὰρξ ἐγένετο, ὅπερ ἐστὶ καθ' ὑπόστασιν ἑαυτῷ ἑνῶσαι φύσιν ἀνθρωπίνην. διὸ καὶ εἷς ὑπάρχει ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ἔχων ἐν ἑαυτῷ τὸ τέλειον τῆς θεϊκῆς φύσεως καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης φύσεως. καὶ
R 802 ἔστιν μονογενὴς μὲν καὶ λόγος, ὡς ἐκ θεοῦ πατρὸς γεννηθείς, καὶ πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς ὁ αὐτός, ὅτε γέγονεν ἄνθρω-
B πος· ὁ γὰρ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου γέγονεν καὶ μείνας ὅπερ ἦν οὐ μετέβαλεν ὅπερ γέγονεν. ὅθεν καὶ δύο γεννήσεις τοῦ αὐτοῦ μονογενοῦς θεοῦ λόγου ὁμολογοῦμεν, τὴν μὲν πρὸ αἰώνων ἐκ τοῦ

2. λέγει] Philip. II. 6. 6. μορφὴν δούλου ἔλαβεν P. 15. ὁ om. P. 17. ὁμογενὴς P.

Dei Verbi ad carnem docens nos et divinus Apostolus, dicit: *Qui cum in forma Dei esset, non rapinam arbitratus est, aequalem se esse Deo: sed semetipsum exinanivit, formam servi accipiens.* Per hoc enim quod dixit: *Qui cum in forma Dei esset*, Verbi subsistentiam in natura Dei esse ostendit. Per hoc autem quod dixit: *Formam servi accepit*, naturae hominis, et non subsistentiae sive personae, unitum esse Deum Verbum significavit. Nec enim dixit, quod eum qui in forma servi erat, accepit: ne ante plasmato homini unitum esse Deum Verbum ostenderet, sicut Theodorus et Nestorius impii blasphemaverunt, affectualem dicentes unitatem."

„Nos autem sequentes divinas scripturas et sanctos patres, confitemur quod Deus Verbum caro factus est, quod est secundum subsistentiam sibi unire naturam humanam. Ideo et unus est Dominus noster Jesus Christus, habens in semetipso perfectionem divinae naturae, et perfe-
quidem et ctionem naturae humanae. Et est unigenitus quidem Verbum, utpote ex Deo Patre natus, et primogenitus autem in multis fratribus: idem ipse cum factus est homo (Filius enim Dei, filius hominis factus est) et manens quod erat, non transmutavit quod factus est. Unde et duas nativitates ejusdem ipsius unigeniti Dei Verbi confitemur: ante saecula qui-

πατρὸς ἀσωμάτως, τὴν δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. ὁ γὰρ ἐκ πατρὸς ἐκλάμψας ὑπὲρ ἔννοιαν ἐκ μητρὸς ἀνέτειλεν ὑπὲρ λόγον, καὶ ὢν θεὸς ἀληθὴς ἄνθρωπος γέγονεν ἀληθῶς. διὰ τοῦτο κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν ἔνδοξον καὶ ἀειπαρθένον Μαρίαν ὁμολογοῦμεν, οὐχ ὡς τοῦ θεοῦ λόγου τὴν ἀρχὴν ἐξ αὐτῆς λαβόντος, ἀλλ' ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ πρὸ τῶν αἰώνων μονογενὴς θεὸς C λόγος σαρκωθεὶς ἐξ αὐτῆς ἀτρέπτως ἐνηνθρώπησεν, καὶ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν, καὶ ἀπαθὴς ὢν θεὸς οὐκ ἀπηξίωσεν παθητὸς εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. τοῦτον τὸν ἐν Βηθλεὲμ γεννηθέντα ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα καὶ ὁμοιωθέντα ἀνθρώποις καὶ σταυρωθέντα ὑπὲρ ἀνθρώπων ἐπὶ Ποντίου Πιλάτου ἐκήρυξαν οἱ ἅγιοι ἀπόστολοι αὐτὸν εἶναι θεόν, αὐτὸν ἄνθρωπον, αὐτὸν υἱὸν θεοῦ, αὐτὸν υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, V 278 αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν παθητόν. ὁ γὰρ D γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς λόγος ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες ἄνωθεν ἐκ δευτέρου γεννηθῶσιν, τουτέστιν ἐκ θεοῦ. αὐτὸς οὖν μητέρα μόνον ἔχει ἐπὶ τῆς γῆς, καὶ ἡμεῖς πατέρα μόνον ἔχομεν ἐν

1. τῶν om. P. 18. τοῦ om. P. 22. τῆς om. P.

dem ex Patre incorporaliter nati, in ultimis autem diebus ejusdem ipsius incarnati et nati de sancta gloriosa Dei genitrice et semper Virgine Maria. Qui enim de Patre splenduit supra intellectum, ex matre ortus est supra rationem. Et cum Deus verus esset, factus est vere homo. Ideo proprie et vere Dei genitricem sanctam gloriosam et semper Virginem Mariam confitemur: non quia Deus Verbum initium ex ipsa accepit, sed quod in ultimis diebus unigenitus Deus Verbum, qui ante saecula erat, incarnatus ex ipsa, immutabiliter homo factus est: et cum invisibilis in suis esset, visibilis factus est in nostris: et cum impassibilis Deus esset, non dedignatus est passibilis esse homo; et immortalis, mortis legibus subjacere. Istum, qui in Bethlehem de semine David natus est secundum carnem, et similis factus hominibus, et crucifixus est pro hominibus sub Pontio Pilato, praedicaverunt sancti Apostoli ipsum esse Deum, ipsum hominem; ipsum Filium Dei, ipsum filium hominis; ipsum de coelo, ipsum de terra; ipsum impassibilem, ipsum passibilem. Deus enim Verbum, qui natus est desursum ex Patre ineffabiliter, inenarrabiliter, incomprehensibiliter, sempiterne, ipse in tempore nascitur deorsum de Virgine Maria, ut illi qui deorsum prius nati sunt, desursum secundo nascerentur, id est, ex Deo. Ipse igitur matrem tantummodo habet super terram, et

οὐρανῷ. λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώπων τὸν Ἀδὰμ ἔδωκε τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ πατέρα ἀθάνατον κατὰ
P 349 τὸ λεγόμενον, Δέδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. ὅθεν καὶ θανάτου κατὰ σάρκα γεύεται ὁ υἱὸς τοῦ θεοῦ, διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς αὐτοῦ μεταλάβωσι διὰ τὸν κατὰ πνεῦμα αὐτῶν πατέρα τὸν θεόν.
R 804 αὐτὸς οὖν κατὰ φύσιν υἱός ἐστιν τοῦ θεοῦ, ἡμῶν δὲ κατὰ χάριν. καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ δι' ἡμᾶς υἱὸς γέγονε τοῦ Ἀδάμ· ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ. πατὴρ γὰρ αὐτοῦ ἐστιν ὁ θεὸς κατὰ φύσιν, ἡμῶν κατὰ χάριν. καὶ θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι ἄνθρωπος· ἡμῶν δὲ κατὰ φύσιν
B δεσπότης ἐστὶ καὶ θεός. καὶ διὰ τοῦτο ὁ λόγος, ὅς ἐστιν υἱὸς τοῦ πατρός, ἑνωθεὶς σαρκὶ γέγονε σάρξ, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες τῷ πνεύματι γένωνται ἓν πνεῦμα. αὐτὸς οὖν ὁ ἀληθινὸς υἱὸς τοῦ θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα φορέσωμεν θεόν, καὶ ἔστιν καὶ μετὰ τὴν ἐνανθρώπησιν εἷς τῆς ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς σύνθετος ἐξ ἑκατέρας φύσεως. σύνθετον δὲ τὸν Χριστὸν ὁμολογοῦμεν τῇ τῶν ἁγίων πατέρων ἀκολουθοῦντες διδασκαλίᾳ. ἐπὶ γὰρ τοῦ κατὰ Χριστὸν μυστηρίου ἡ κατὰ σύνθεσιν ἕνωσις τὴν σύγχυσιν καὶ διαίρεσιν ἀποβάλλεται, καὶ φυλάττει μὲν

1. τὸν alterum om. P. 3. λεγόμενον] Ioan. I. 12. 7. ἡμῶν δὲ] ἡμεῖς P. 17. ὁμογενὴς P, ὁμονογενὴς R. ib. ὁ om. P.

V. „Si quis per relationem, aut abusive, Dei genitricem dicit sanctam gloriosam semper Virginem Mariam, aut hominis genitricem, aut Christotocon, tamquam Christo Deo non existente, sed non proprie et vere Dei Genitricem ipsam confitetur, eo quod ipse qui ante saecula ex Patre

τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ B 826
αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν
Ἰησοῦν Χριστὸν θεὸν εἶναι ἀληθινὸν καὶ κύριον τῆς δόξης καὶ V 287
ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἐν ἀν-
θρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ
λόγον σαρκωθέντα ὁμολογεῖ, μηδὲ ἐπὶ τῷ σημᾶναι τὴν διαφορὰν B
τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέ-
ρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστη-
ρίου, ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς φύσεις, κα-
θὼς Θεόδωρος καὶ Νεστόριος βλασφημοῦσιν, ὁ τοιοῦτος ἀνά-
θεμα ἔστω.

Εἴ τις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέ-
στιν τοῦ σαρκωθέντος θεοῦ λόγου, τὸν ἀριθμὸν τῶν φύσεων ὁμο-
λογῶν μὴ τῇ θεωρίᾳ τὴν διαφορὰν τούτων ἐξ ὧν καὶ συνετέθη
λαμβάνει, ὡς ταύτης οὐκ ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ
διαιρέσει τῇ ἀνὰ μέρος τῷ ἀριθμῷ κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα
ἔστω.

Εἴ τις λέγων μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην οὐχ C
οὕτως αὐτὸ ἐκλαμβάνει ὡς ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀν-

3. οὐκ V. 6. καὶ ἐνανθρωπότητι PV. 18. τῇ διαιρέσει τῇ P.
ib. ὁ om. P.

natus est Deus Verbum, in ultimis diebus ex ipsa incarnatus et natus est, talis anathema sit."

VI. „Si quis non confitetur Dominum nostrum Jesum Christum qui carne crucifixus est, Deum esse verum, et Dominum gloriae, et unum de sancta Trinitate, talis anathema sit."

VII. „Si quis in duabus naturis dicens non tamquam in Deitate et humanitate unum Dominum nostrum Jesum Christum, Deum Verbum incarnatum confitetur, nec ad significandam differentiam naturarum, ex quibus compositus est, sed pro divisione per partem, talem excipit vocem in mysterio Christi, quasi separatim unaquaque natura suam habente subsistentiam, sicut Theodorus et Nestorius blasphemaverunt, talis anathema sit."

VIII. „Si quis in uno Domino Jesu Christo, hoc est, Deo Verbo incarnato, numerum confitens naturarum, non intellectu differentiam earum, ex quibus et compositus est, excipit, utpote non interemptam propter unitatem, sed pro divisione per partem numero utitur, talis anathema sit."

IX. „Si quis dicens unam naturam Dei Verbi incarnatam, non sic hoc intelligit, quod ex divina natura et humana unus Christus effectus est,

θρωπίνης εἰς Χριστὸς ἀπετελέσθη, ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, ἀλλ' ὅτι τῆς θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις ἤτοι οὐσία ἀπετελέσθη κατὰ τὴν Ἀπολλιναρίου καὶ Εὐτυχοῦς κακοπιστίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. ἐφίσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας ἤτοι τέμνοντας καὶ τοὺς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται καὶ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία.

D Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολλινάριον, Νεστόριον, Εὐτυχέα, καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

R 828 Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας, τοῦ εἰπόντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν, ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν
P 361 χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου προσκυνούμενον καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον παντελῶς γενόμενον, καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικός, Ἔσονται οἱ δύο

5. ἔστω] αὐτῷ V. ib. ἐφ' ἴσης P. 22. ὁ ἀπόστολος] Ephes. V. 31. ib. οἱ om. P.

consubstantialis Patri secundum Deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, sed quod Deitatis et carnis Christi una natura sive substantia effecta est secundum Apollinarii, et Eutychetis perfidiam, talis anathema sit."

„Aequaliter enim et eos qui per partem incidunt vel dividunt, et eos qui confundunt divinae dispensationis mysterium Christi, rejicit et condemnat universalis Dei Ecclesia."

X. „Si quis non anathematizat Arium, Eunomium, Macedonium, Apolinarium, Nestorium, Eutychem, et eos qui similia eis sapuerunt vel sapiunt, talis anathema sit."

XI. „Si quis defendit Theodorum Mopsuestenum, qui dixit alium esse Deum Verbum, et alium Christum a passionibus animae et desideriis carnis molestias patientem, et ex profectu operum melioratum, et baptizatum in nomine Patris, et Filii, et Spiritus sancti, et per
adfil. Baptisma gratiam sancti Spiritus accepisse, et affiliationem meruisse, et ad similitudinem imperialis imaginis in personam Dei Verbi adorari, et post resurrectionem immutabilem cogitationibus, et impeccabilem omnino factum fuisse: et iterum dixit talem factam esse unitionem Dei Verbi ad Christum, qualem dixit Apostolus de viro et mu-

εἰς σάρκα μίαν, καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς καὶ εἰπών, Λάβετε πνεῦμα ἅγιον, οὐ δεδωκὼς αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησεν. B οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ, ἣν ἐπὶ τῇ ψηλαφήσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν τὸ Ὁ κύριός μου καὶ θεός μου εἶπεν, μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ· οὐδὲ γὰρ εἶναι λέγει τὸν Χριστὸν θεόν, ἀλλ' ἐπὶ τῷ παραδόξῳ τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν θεὸν τὸν ἐγείραντα τὸν Χριστόν. τὸ δὲ χεῖρον, ὅτι καὶ ἐν τῇ τῶν Πράξεων τῶν ἀποστόλων γενομένῃ παρ' αὐτοῦ δῆθεν ἑρμηνείᾳ συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι καὶ V 288 Μανιχαίῳ καὶ Ἐπικούρῳ καὶ Μαρκίωνι λέγει ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῷ μαθητεύσαντας πεποίηκε C καλεῖσθαι Πλατωνικοὺς καὶ Μανιχαίους καὶ Ἐπικουρείους καὶ Μαρκιωνιστάς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα ἐξ αὐτοῦ τοὺς χριστιανοὺς καλεῖσθαι. εἴ τις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τὰ τοιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν καὶ τὰ αὐτοῦ συγγράμματα καὶ τοὺς τὰ ὅμοια αὐτοῦ φρονοῦντας ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρήτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρετικοῦ καὶ κατὰ τῆς ὀρθῆς πί- R 830

3. εἰπὼν] Ioan. XX. 22. ib. τὸ πνεῦμα P. 8. οὐ P. 10. τὸν alterum om. P. ib. τόδε PV. ib. καὶ om. P. 19. ἀναθεματίσει PV.

liere: *Erunt duo in carne una:* et super alias suas innumerabiles blasphemias ausus est dicere, quod post resurrectionem cum insufflasset Dominus Discipulis suis, et dixisset: *Accipite spiritum sanctum:* non dedit eis Spiritum sanctum, sed figuratim tantummodo insufflavit. Sed et confessionem, quam fecit Thomas cum palpasset manus et latus Domini post resurrectionem, dicens: *Dominus meus, et Deus meus,* inquit non esse dictam a Thoma de Christo, (nec enim dixit Theodorus Deum esse Christum) sed ad miraculum resurrectionis stupefactum Thomam glorificasse Deum, qui Christum resuscitavit. Et quod pejus est, etiam in interpretatione quam in Actis Apostolorum scripsit Theodorus, similem fecit Christum Platoni, et Manichaeo, et Epicuro, et Marcioni, dicens quod sicut illorum unusquisque ex dogmate quod invenit, suos discipulos fecit vocari Platonicos, et Manichaeos, et Epicureos, et Marcionistas, simili modo et cum Christus dogma invenisset, ex ipso Christianos vocari. Si quis igitur defendit eumdem Theodorum, qui talia blasphemavit, et non anathematizat eum, et ejus conscripta, et eos qui similia illi sapuerunt, vel sapiunt, talis anathema sit."

[Margin: Sed etiam. *sic et Leuncl.* — Epicurios]

„Si quis defendit conscripta Theodoreti, quae exposuit pro Nestorio haeretico adversus rectam fidem, et Ephesinam primam sanctam Syno-

στεως καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου καὶ τοῦ ἐν ἁγίοις
D Κυρίλλου καὶ τῶν ιβ' αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμ-
μασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τόν τινα ἄν-
θρωπον, περὶ οὗ βλασφημῶν λέγει ὅτι ἐψηλάφησεν Θωμᾶς τὸν
ἀναστάντα καὶ προσεκύνησε τὸν ἐγείραντα. καὶ διὰ τοῦτο ἀσε-
βεῖς καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους τοὺς καθ' ὑπόστασιν
τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας. καὶ
πρὸς τούτοις θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον
Μαρίαν. εἴ τις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρήτου
ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτά, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.
P 362 διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ
μετὰ ταῦτα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Χαλκηδόνι συνωθήθη πάν-
τα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασιν ποιῆσαι
καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

Εἴ τις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης
παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικόν, τῆς
ἀρνουμένης τὸν θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι καὶ λεγούσης
μὴ τὸν λόγον ἐκ τῆς παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ
ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς
ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν ἄνθρωπον, πρὸς τού-
B τοις δὲ ἐνυβριζούσης τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς χωρὶς
ζητήσεως καὶ κρίσεως Νεστόριον καταδικάσασαν, καὶ τὸν ἐν

18. τὸν θεὸν λόγον P. 19. ψιλὸν τὸν ἄνθρωπον P sola. 22. καταδικασάσης P sola.

dum, et Sanctum Cyrillum, et duodecim ejus capitula, in quibus sceleratis conscriptis idem Theodoretus affectualem dicit unitatem Dei Verbi ad hominem quemdam, de quo blasphemans dixit, quod palpavit Thomas eum qui resurrexit, et adoravit eum qui resuscitavit; et propter hoc impios vocat Doctores Ecclesiae, qui unitatem secundum subsistentiam Dei Verbi ad carnem confitentur. Et super haec Dei Genitricem abnegat sanctam et gloriosam semper Virginem Mariam. Si quis igitur memorata conscripta Theodoreti defendit, et non anathematizat ea, talis anathema sit. Propter tales enim blasphemias ab episcopatu dejectus est, et postea in sancto Calchedonensi Concilio compulsus est omnia contraria memoratis suis conscriptis facere, et rectam fidem confiteri."

„Si quis defendit impiam epistolam, quam ad Marim Persam haereticum Ibas scripsisse dicitur, quae abnegat Deum Verbum hominem factum esse, et dicit non Deum Verbum ex Virgine incarnatum, natum esse, sed purum hominem ex ipsa esse natum, quem Templum vocat, ut alius sit Deus Verbum, et alius homo: et super haec injuriat Ephesinam primam Synodum, quasi sine inquisitione et examinatione ab ipsa Nestorio condemnato, et sanctum Cyrillum vocat haereticum, et duodecim

ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης καὶ ἀσεβῆ τὰ ιβʹ αὐτοῦ κεφάλαια, Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων ἐπαινούσης καὶ ἐκδικούσης· εἴ τις τοίνυν, καθὰ εἴρηται, τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτήν, ἀνάθεμα ἔστω.

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης
διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας, οἱ τὰ Θεοδώρου καὶ C
Νεστορίου τῶν ἀσεβῶν φρονοῦντες ἐπιχειροῦσι λέγειν ταύτην δεδέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου. τοῦτο δὲ λέγουσι τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῷ δὲ ταύτης προσχήματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι R 832
Θεόδωρον καὶ Νεστόριον καὶ τὴν ἀσεβῆ ἐπιστολήν, περὶ ἧς Ἴβας πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας. καὶ ταῦτα ἀποδείξομεν ἐκ τῶν διαφόρως περὶ τούτου κεκινημένων. ἐν γὰρ τοῖς παρὰ Φω- V 289
τίου καὶ Εὐσταθίου πεπραγμένοις ἐν Τύρῳ κατηγορούμενος ὁ προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανερῶς κατέθετο μετὰ τὴν ἕνωσιν τῶν ἀνατολικῶν τὴν πρὸς τὸν ἐν D
ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ. ἡ δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ' αἷς κατηγορεῖτο Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου

2. δὲ om. P. 8. περιεχομένας (ἐν) P sola. ib. οἱ τὰ] οἷα PV.
21. ἡ om. P. 22. κατηγορεῖτο m. R, κατηγορεῖται PV.

ejus capitula impia dicit, Nestorium autem et Theodorum cum impiis eorum conscriptis collaudat et defendit. Si quis igitur, sicut dictum est, conlaudat.
eamdem ipsam epistolam vindicat, vel rectam esse dicit ipsam, vel par- sic alibi.
tem ipsius, sed non anathematizat eam, anathema sit."

„Tali ergo impia epistola juste anathematizata propter insertas ei blasphemias, Theodori et Nestorii impiorum sequaces conantur dicere, susceptam esse eam a sancto Calchedonensi Concilio. Hoc autem dicunt, sanctam quidem Calchedonensem Synodum calumniantes, nomine autem ejus festinantes debita condemnatione liberare Theodorum, et Nestorium, et impiam epistolam, pro qua Ibas saepius accusatus, non est ausus eam suam dicere propter insertas ei blasphemias. Et haec demonstrabimus ex his, quae diverse de ista causa mota sunt. In his enim quae apud Photium et Eustathium Tyri acta sunt, cum accusaretur praedictus Ibas de injuriis Sancti Cyrilli, manifeste confessus est, post unitatem orientalium, quae ad sanctae memoriae Cyrillum facta est, nihil injuriosum de eo dixisse. Epistola autem plena praedictis blasphemiis, pro quibus accusabatur Ibas, multas contra Sanctum Cyrillum injurias continens, facta

ὕβρεις περιέχουσα παρίστησιν ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς τοὺς ἀνατολικοὺς γέγονεν· ἐξ οὗ δείκνυται Ἴβας ταύτην ἀπαρνησάμενος. ὅθεν οἱ μνημονευθέντες Φώτιος καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῇ ἐπιστολῇ πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν. ἀλλὰ μὴ πληρώσας P 363 Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς, καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ.

Περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν ὅτι Ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι. ὅθεν ἡ ἁγία σύνοδος, μὴ ἀρκεσθεῖσα τῇ ἀρνήσει Ἴβα τῇ ἐπὶ τῇ ἀσεβεῖ ἐπιστολῇ, συνώθησεν αὐτὸν τἀναντία ταύτῃ πρᾶξαι. τουτέστιν τὴν ἐν αὐ- B τῇ ἀθετουμένην ὀρθὴν πίστιν ὁμολογῆσαι καὶ τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον δέξασθαι καὶ τὸν ἐν ἁγίοις Κύριλλον πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι τὰ ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ ὑβριζόμενα καὶ Νεστόριον καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι, ὅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ.

Εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησεν αὐτὴν οἰκειώσασθαι, ἀλλὰ

8. καὶ de meo addidi. 21. ὅπερ m. R, ἅπερ PV.

esse ostenditur post unitatem ad orientales factam, ex quo demonstratur Ibas eam abnegasse. Unde praedicti Photius et Eustathius satisfacientes accusatoribus, in scriptis definierunt, praedictum Ibam omnia contraria epistolae peragere, sicut judicium ab eis de hoc datum significat. Sed cum Ibas non adimplesset ea quae illi judicaverunt, ejectus est ab (et Delent Cod. et Lcuncl.) Episcopatu propter blasphemias praedictae epistolae, et Nonnus pro illo ordinatus est, qui et consedit in sancto Calchedonensi Concilio."

„De eisdem igitur etiam Calchedone accusatus memoratus Ibas, post lectionem impiae epistolae non est ausus eam suam esse confiteri, sed statim ipsis verbis intulit, alienum se esse eorum quae ei inferebantur. Unde sancta Synodus, cum ei non sufficeret abnegatio Ibae, quae facta est de impia epistola, compulit eum contraria ei peragere, id est, reprobatam in ea rectam fidem confiteri, et Ephesinam primam sanctam Synodum suscipere, et Sanctum Cyrillum Patrem et Doctorem adscribere, quae in eadem impia epistola injuriantur, et Nestorium, impiumque ejus (et Del. Cod. et Lcuncl.) dogma anathematizare, quae et impia epistola defendit et collaudat."

„Si igitur et ipse Ibas propter impiam epistolam saepius accusatus, non est ausus eam suam dicere, sed etiam Calchedonense sanctum Con-

καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος πάντα τὰ ἐναντία ταύτης πα- R 334
ρεσκεύασεν αὐτὸν πρᾶξαι, πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν
εἰρημένην ἐπιστολὴν δέξασθαι καὶ τῷ κρίματι τῆς περιεχομένης
αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ' ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπούδασεν; C

Ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῇ ἐπι-
στολῇ βλασφημίας οἱ αἱρετικοὶ τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι
τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γρά-
ψαντος εἰρημένον, τοῦτ' ἔστιν δύο φύσεις, μίαν δύναμιν, ἓν
πρόσωπον, ἀποδείξομεν αὐτὸν καὶ ἐν τούτῳ τὴν ἰδίαν ἀσέβειαν
παραμιγνύντα. τίνος γὰρ ἂν καὶ λέγοι δύο φύσεις καὶ ἓν πρόσω-
πον ὁ ἀπαρνούμενος τὸν θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐν-
δόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τεχθῆναι ἐξ αὐτῆς;
ἀλλὰ πρόδηλον ὡς ἑκάστῃ φύσει ἴδιον πρόσωπον ἀπονέμει, κα-
θὼς Θεόδωρος καὶ Νεστόριος ἐν τοῖς οἰκείοις λόγοις βλασφη- D
μοῦντες ἐξέθεντο· οὓς καὶ ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ
τῆς αὐτῶν ἀσεβείας. ἐκεῖνοι γὰρ φανερῶς λέγουσι δύο πρόσωπα
τοῦ θεοῦ λόγου καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκα-
λοῦσι κατὰ σχετικὴν συνάφειαν, καὶ τὴν αὐτὴν ἀξίαν τε καὶ τι-
μὴν ἓν πρόσωπον ἀναφαίνεσθαι λέγουσιν. ἀλλὰ καὶ τῶν δύο φύ-
σεων μίαν δύναμιν ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστο-
λὴν φανερός ἐστιν ὡς καὶ ἐν τούτῳ ἀκολουθεῖ τοῖς εἰρημένοις αἱ- V 290
ρετικοῖς, Θεοδώρῳ μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως

2. ἁγία] ἡ ἁγία P sola. 10. λέγει PV. 13. ἀλλὰ πρόδηλον om. P. 15. οὓς δὲ καὶ P. 19. ἀναφέρεσθαι P, ἀναφαίνεσθαι V, m. R. 21. φανερῶς PV. 22. ἀνθρωπήσεως P.

cilium omnia ei contraria compulit eum peragere: quomodo eadem sancta synodus memoratam epistolam susciperet, et condemnationi impietatis quae in ea continetur, sese subjiceret, a qua Ibam liberare festinavit?“

„Quoniam autem omnes blasphemias epistolae praetermittentes haeretici, hoc solum ex ipsa proferunt. quod ad decipiendos simpliciores scriptor epistolae dixit, hoc est, duas naturas, unam virtutem, unam personam; demonstrabimus quod ipse etiam in hoc suam commiscuit impietatem. Cujus enim *diceret duas naturas et unam personam, qui abnegatus ipsum Deum Verbum incarnatum de sancta et gloriosa Dei Genitrice et semper Virgine Maria, et natum esse ex ipsa? Sed certum est, quod unicuique naturae suam personam attribuit, sicut Theodorus et Nestorius in suis libris blasphemantes exposuerunt, quos defendit scriptor epistolae cum eorum impietate. Illi enim aperte dicentes duas personas Dei Verbi, et Christi, quem purum hominem vocant, per affectualem conjunctionem, et per eamdem dignitatem et honorem unam personam apparere dicunt: sed et duarum naturarum unam virtutem sive potentiam dicens scriptor epistolae, manifestus est quod et in hoc memoratos haereticos sequitur, Theodorum quidem dicentem in diversis libris de Incarnatione impie ex-

demonstratem. quod et *Leuncl.* quod ipsum et demonstramus in. *dicit. *ita et* *Leuncl.*

P 364 αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσιν, Νεστορίῳ δὲ ἐν πολ-
λοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ πρὸς
Ἀλέξανδρον τὸν αἱρετικὸν Ἱεραπολίτην, ὅτι τῶν δύο φύσεων μία
ἐστὶν αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ ἓν πρόσωπον
κατὰ μίαν ἀξίαν καὶ τὴν αὐτὴν τιμήν. ἀφ' ὧν ἀποδείκνυται ὁ
τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώ-
πων τῇ τῶν φύσεων προσηγορίᾳ χρησάμενος. μία γὰρ αὐθεντία
καὶ μία δύναμις ἤτοι δυναστεία καὶ μία ἀξία καὶ ἡ αὐτὴ τιμὴ
οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων προσώπων καὶ
B τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦ-
R 886 μεν. ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς κατ' αὐθεν-
τίαν ἢ δύναμιν ἤτοι δυναστείαν ἢ ἀξίαν ἢ ἰσοτίμως λέγοντας τὸν
θεὸν λόγον τῷ Χριστῷ ἡνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ
Θεοδώρου καὶ Νεστορίου καλοῦσιν, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν
τὴν τοῦ λόγου πρὸς τὴν σάρκα, ἐψυχωμένην ψυχῇ λογικῇ καὶ
νοερᾷ, τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν
ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. πλὴν ὅμως καὶ
πρὸς τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν
C δείκνυσι κακοδοξίαν, λέγων ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν καὶ
εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ· ἐν οἷς φανερῶς δύο εἰσάγει

3. αἱρετικὸν καὶ Ἱεραπολίτην P. 11. ἀναθεμάτισαν P. 15. ἐμψυχομένην P. 16. ἕνωσιν] γένεσιν V. 19. αὐτῆς ἐπιστολῆς] ἐπιστολῆς αὐτῆς P. 21. οἰκοῦντα P.

positis, Nestorium autem in multis quidem scriptis, et maxime in epistola scripta ad Alexandrum Hierapolitanum haereticum, quod duarum naturarum una est auctoritas, et una virtus, sive potentia, et una persona per dignitatem eumdemque honorem: ex quo ostenditur, qui scripsit epistolam, secundum illorum perfidiam pro personis usus vocabulo naturarum. Una enim auctoritas, et una virtus sive potentia, et una dignitas et idem honor, non in diversis naturis, sed in diversis personis ejusdem substantiae dicitur, quod in sancta Trinitate confitemur. Unde et sancti Patres anathematizaverunt eos, qui per auctoritatem, aut virtutem, sive potentiam, aut dignitatem, aut aequalitatem honoris, dicunt Deum Verbum unitum esse Christo; quem purum hominem vocant Theodori et Nestorii sequaces, sed non secundum subsistentiam Dei Verbi ad carnem
rationabili animatam anima rationali et intellectuali, unitatem factam esse confitentur."

„Et haec quidem sufficiebant ad convincendam impietatem eorum, qui sceleratam epistolam vindicant. Tamen et in fine scriptor ejusdem epistolae ostendit suam perfidiam, dicendo quod oportet credere in Templum, et in eum qui habitat in Templo: per quae aperte duas introdu-

πρόσωπα. ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου καὶ Νεστορίου ἐδιδάχθη. ἡ μέντοι καθολικὴ ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἀλλ' εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν καὶ πιστεύειν παραδίδωσιν. οὐδὲν δὲ θαυμαστὸν εἰ τῇ τῶν φύσεων ὀνομασίᾳ ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν ὀρθοδόξων εὐσεβῶς λεγομέναις φωναῖς D κεχρῆσθαι καὶ τὴν εὐσεβῆ τούτων ἔννοιάν τε καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν, ἐπειδὴ ἔστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι καὶ νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν.

Ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις καὶ ἓν πρόσωπον, μὴ ὁμολογοῦντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐν Ἐφέσῳ πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Καιλεστῖνος καὶ Κύριλλος οἱ ἐν ὁσίᾳ τῇ μνήμῃ, οὐ προσεδέξατο, ἀλλὰ καὶ κατεδίκασεν. P 365 ἡμεῖς δὲ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ διὰ πάντων ἀκολουθοῦντες, καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν, ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὁ εἷς τῆς ἁγίας τριάδος, ὁ θεὸς λόγος

4. οἰκοῦντα P. 5. τοῦ om. P. 16. αὐτῶν P. 18. οὐ om. P.
ib. προσεδέξαντο — κατεδίκασαν PV. 21. ὁ primum om. P.

cit personas. Sed et istam impietatem a Theodoro et Nestorio scriptor epistolae edoctus est. Catholica autem Ecclesia talem condemnans perfidiam, non in Templum, et in eum qui habitat in Templo, sed in unum Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum et hominem factum confiteri et credere tradit. Nihil autem mirandum est, si vocabulo naturarum usus est scriptor illius impiae epistolae. Solent enim haeretici, ut simpliciores decipiant, vocibus quidem uti quae ab orthodoxis pie dicuntur, rectum autem earum intellectum et expositionem ad suam impietatem transferre, quoniam autem eaedem voces, quando bene exponuntur et intelliguntur, cum pietate sunt; quando autem male ab haereticis intelliguntur et proferuntur, impietatem habent."

confitetur. et Leuncl. deciperent. et Leuncl. quoniam est quando eadem, etc. interpretantur et proferuntur,

„Itaque Nestorium duas quidem naturas et unam personam dicentem, non confitentem autem earum unitatem secundum subsistentiam, Ephesina prima Synodus, cujus auctores erant Caelestinus et Cyrillus sanctae memoriae, non suscepit, sed condemnavit. Nos autem sanctorum Patrum doctrinam per omnia sequentes, et unitatem duarum naturarum, ex quibus Dominus noster Jesus Christus unus sanctae Trinitatis, Deus

σαρκωθεὶς, συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ὡς ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν.

R 838 Καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονεικεῖν· ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς B τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξομεν. φασὶ γὰρ μὴ V 291 δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις. ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξηται, δεῖ καὶ Εὐτυχέα καὶ Νεστόριον δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῇ συνόδῳ πεπραγμένοις ἐμφέρεται· ἀλλ' οὐδεὶς τῶν εὖ φρονούντων τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν. τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα οὐκ ἐπὶ τῷ ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων παραλαμβάνεται.

C Εἰ καὶ ὅτι τὰ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς ηὕρηται, πλὴν κἀκείνῳ δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐτοῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν ἢ κατ' ἐναντίωσιν ἢ κατὰ

12. τοῖς PV. 16. Εἰ καὶ] Δεῖ δὲ P. 19. δεῖ] δὲ PV.

Verbum incarnatus, compositus est, et quod earum differentia non interempta est propter unitatem, in superioribus apertius demonstravimus."

„Et sufficiebant quidem quae praediximus, satisfacere eis qui nolunt contendere. Sed quoniam illi, qui semel ad impietatem declinaverunt, et alia proponere conantur, necessario nos et tales eorum occasiones vanas ostendemus. Dicunt enim non oportere vituperare impiam epistolam, eo quod in aliquantis fertur codicibus. Sed si hoc aliquis secundum eorum dementiam sufficiat, oportet et Nestorium et Eutychem suscipi, quoniam plurima et de his in gestis continentur quae apud Synodum acta sunt. Sed nemo sapiens dictis eorum animum intendet. Quae enim de haereticis proferuntur in Synodis et pars gestorum fiunt, non ad liberationem inseruntur, sed ad majorem condemnationem eorum, et qui eis similia sapiunt. Quamvis autem exemplaria impiae epistolae quae circumferuntur, in aliquibus codicibus, ut dictum est, inserta sint, tamen in authenticis in quibus sanctissimi Episcopi subscripserunt, nullatenus inveniantur."

codicibus fertur.

Quamvis, etc. *desunt* in *Cod.* et *apud* *Deuncl.*

„Oportet autem etiam illud attendere eos qui veritatem perscrutantur, quod forsitan in Conciliis quaedam a certis ibi convenientibus dicuntur, aut per favorem, aut per contrarietatem, aut per ignorantiam.

ἄγνοιαν. οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομέ-
νοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁρι-
ζομένοις. εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς
τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνα- D
τρέπουσα.

Διὰ ταῦτα τοίνυν ἔδει αὐτούς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν
ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῇ μέμψεις περιάπτειν, ἀλλὰ
ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς ἐκκλησίας, καὶ μά-
λιστα τοῖς ἐν ἁγίοις Ἀθανασίῳ τῷ γενομένῳ τῆς Ἀλεξανδρέων
ἐπισκόπῳ καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας ἀναδεξαμένῳ ὑπὲρ
τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως κατὰ πάσης αἱρέσεως, καὶ μά-
λιστα τῶν ἀσεβεστάτων Ἀρειανῶν. τῶν γὰρ αὐτῶν Ἀρειανῶν
πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διο-
νύσιον, πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξαν- P 366
δρέων γενόμενον ἐπίσκοπον, καὶ λεγόντων ὡς καὶ αὐτὸς Διονύ-
σιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς ἐκκλη- R 840
σίας διδάσκαλος πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξεν τὴν ὀρθὴν
πίστιν· Διονύσιον ἐξ ἀρχῆς κηρῦξαι καὶ μηδαμῶς ἐπικοινωνῆσαι
τῇ τῶν Ἀρειανῶν ἀσεβείᾳ. οὗτοι δὲ τὰ τῶν αἱρετικῶν φρονοῦν-
τες εἰς τὴν οἰκείαν ἀσέβειαν ταύτῃ περιάπτειν σπουδάζουσιν.
ὁποῖον δέ ἐστι κατάκριμα καὶ ποία ἐπίκειται ἀρὰ τοῖς εἰς πατέρας
ἁμαρτάνουσιν διδάσκει ἡμᾶς καὶ ἡ θεία γραφή. εἰ γὰρ Χὰμ ὁ

11. ὀρθῆς om. P. 18. κηρύξας P. 19. τὰ om. P. 20. ἀσέβειαν om. P. 22. καὶ om. P.

Nemo autem attendit ea quae per partem a quibusdam dicuntur: sed sola illa, quae ab omnibus communi consensu definiuntur. Si enim aliquis secundum illos voluerit attendere ejusmodi contrarietates, unaquaeque Synodus invenietur semetipsam destruens."

„Propter haec igitur oportebat eos, si sanctum Concilium recte susciperent, non tales blasphemias ei applicare, sed sequi Doctores Catholicae Ecclesiae, et maxime sanctum Athanasium, qui fuit Alexandriae Episcopus, et plurimos et magnos labores suscepit pro recta Christianorum fide adversus omnem haeresin, et maxime contra impiissimos Arianos. Ipsis enim Arianis ad decipiendos populos suo errori conjungentibus Dionysium, qui ante multos annos Athanasii fuit Alexandriae Episcopus, et dicentibus quod et ipse Dionysius similia eis sapuit, Athanasius magnus Ecclesiae Doctor multis modis ostendit in scriptis, rectam fidem Dionysium ab initio praedicasse, nulloque modo participem Arianae impietatis fuisse. Isti autem haeretica sapientes, suam impietatem eidem Synodo applicare festinant. Qualis autem est condemnatio, et qualis imminet maledictio eis qui in patres peccant, docet nos et divina Scriptura. Si enim Cham filius Noe cum vidisset nudum suum patrem, quo-

υἱὸς τοῦ Νῶε θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα, καὶ μὴ καλύ-
B ψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν, ἐξελθὼν ἀπήγγειλε
ταύτην τοῖς ἀδελφοῖς, καὶ ἐκεῖνοι ἱματίῳ ταύτην περιεσκέπασαν,
αὐτὸς δὲ Χὰμ καὶ οἱ ἐξ αὐτοῦ γεννηθέντες ὑπὸ κατάραν γεγόνα-
σιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν, πολλῷ
μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι
οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῇ συνόδῳ σπουδάζοντες διὰ
τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ Θεοδώρου περιάπτειν αὐτῇ. ἀλλ'
οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολὴ ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκ-
φεύξονται τὴν ἐπὶ τῇ αὐτῶν ἀσεβείᾳ κατάκρισιν, ἀλλ' οὐδὲ Θεό-
C V 292 δωρος ὁ Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ πάντας αἱρετικοὺς τῇ ἀσε-
βείᾳ ὑπερβαλόμενος. οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφη-
μίαις οὐκ ἠρκέσθη τῷ πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι
τὸ σύμβολον τῶν τι' καὶ η' ἁγίων πατέρων, ἀλλὰ καὶ περιφρο-
νήσας τούτου ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρω-
μένον, ἐν ᾧ ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας ἢ παραδιδόν-
τας ἐτόλμησεν, ὥστε ὅσον κατὰ τὴν ἐκείνου μανίαν πάντας τοὺς
ἁγίους ἀποστόλους καὶ πατέρας κατακεκρίσθαι. τοῦτο δὲ τὸ ἀσε-
βὲς Θεοδώρου σύμβολον καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ
D προκομισθὲν καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν ὑφ' ἑκατέρας συνό-
δου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη.
ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι, προφερο-

2. ἐπήγγειλε P. 9. αὐτῆς P. 12. ὑπερβαλλόμενος PV. 14. τὸ om. P. 16. ἢ παραδιδόντας om. P. 17. ἐκείνων V. 22. ποιούμενοι λόγον P.

niam non cooperuit patris corporalem nuditatem, sed egressus nuntiavit eam fratribus, et illi vestimento eam cooperuerunt, ipse quidem Cham, et illi qui ex ipso nati sunt, sub maledictione facti sunt; qui autem cooperuerunt, magnam benedictionem meruerunt: multo magis isti majore et ampliore condemnatione digni sunt, qui ad Synodum minime pertinentem infamiam, festinant per impietatem epistolae, et Theodori, eidem sanctae Synodo applicare. Sed non ideo impia epistola, vel defendentes eam, condemnationem suae impietatis effugient: sed neque Theodorus, qui Paganos et Judaeos, et omnes haereticos impietate superat. Impio enim Theodoro non suffecit super alias ejus blasphemias ad suum errorem male interpretari Symbolum trecentorum decem et octo sanctorum Patrum: sed etiam contempto eo, aliud Symbolum exposuit omni impietate plenum, in quo anathematizare ausus est eos, qui aliter sapiunt vel tradunt, ut quantum ad illius insaniam pertinet, omnes Sancti Apostoli et Patres condemnarentur. Hoc autem Theodori impium symbolum et in Ephesina prima Synodo prolatum, et in Calchedonensi recitatum, ab utraque Synodo cum ejus expositore, et eis qui illud suscipiunt, condemnatum est. Quoniam autem quidam, verba pro Theodoro facientes,

μένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων, διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν προσποιοῦνται μὲν λέγειν ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τὴν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυμάζομεν τὴν τούτων ἄνοιαν, ὅτι τῇ θείᾳ τολμῶσιν ἐναντιοῦσθαι γραφῇ, φανερῶς λεγούσῃ ὅτι ἐν R 842 *ἴσῳ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ· καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. εἰ δὲ ὁμοίως τῇ αὐ-* P 367 *τοῦ ἀσεβείᾳ μισητὸς θεῷ καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ θεοῦ καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλεται. τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει ἢ τὸν ἀπὸ τοῦ θεοῦ χωρισμόν, ὡς ἐν τῇ παλαιᾷ καὶ τῇ καινῇ διαθήκῃ τὸ περὶ τοῦ ἀναθέματος κρῖμα δηλοῖ. ὅτι δὲ καὶ κύριος τοὺς μὴ μένοντας ἐν τῷ τῆς ἀληθείας αὐτοῦ λόγῳ κεχωρισμένους εἶναι λέγει τῆς ἐκκλησίας, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησί, Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ δὲ* B *υἱὸς μένει εἰς τὸν αἰῶνα. ὅτι δὲ τὴν παρὰ τοῦ κυρίου ὠνομασμένην οἰκίαν ἡ θεία γραφὴ ἐκκλησίαν θεοῦ ζῶντος καλεῖ ὁ ἀπόστολος μαρτυρεῖ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ. εἰ δὲ λέγουσί τινες μὴ δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇ οἰκείᾳ πλάνῃ ἐμμείνας δικαιότερον διηνεκεῖ ἀνα-*

3 *τὴν αὐτὴν* P. 12. *δῆλον* R. 14. *εὐαγγελίῳ*] VIII. 34. 16. *ὁ δὲ — αἰῶνα* om. P. 19. *πρώτῃ*] 15. *ib. λέγωσι* RV.

cum proferuntur impia ejus conscripta, propter insertam eis blasphemiam confingunt quidem dicere quod impia sunt, ipsum autem qui talem impietatem evomuit, recusant anathematizare: miramur eorum dementiam, quod divinae Scripturae contraria agunt, evidenter dicenti, quia *aequaliter horribilia sunt apud Deum impius et impietas ejus.* Actio enim cum auctore punietur: Si autem similiter impietati horribilis est Deo et ille actore qui impie agit, certe separatus est talis a Deo, et anathemati juste subjicitur. Anathema enim nihil aliud significat, nisi a Deo separationem, sicut in veteri et novo Testamento judicium de anathemate significat. Quod autem et Dominus eos qui non permanent in Verbo veritatis ipsius, separatos esse ab Ecclesia dicit, in Evangelio secundum Joannem, Judaeos alloquens, sic ait: *Omnis qui facit peccatum, servus est peccati. Servus autem non manet in domo in aeternum: filius autem permanet in aeternum.* Quod autem, quam Dominus nominat domum, divina Scriptura Ecclesiam Dei vivi vocat, Apostolus testatur in epistola prima ad Timotheum. Si vero quidam dicunt, non oportere Theodorum post mortem anathematizari, sciant qui talem haereticum defendunt, quod omnis haereticus usque ad finem vitae in suo errore permanens, juste perpetuo

θεματισμῷ καὶ μετὰ θάνατον ὑποβάλλεται. καὶ τοῦτο ἐπὶ πολλοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω, τουτέστιν Βαλεντίνῳ, Βασιλείδῃ, Μαρκίωνι, Κηρίνθῳ, Μανιχαίῳ,
C Εὐνομίῳ καὶ Βονόσῳ. τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρου γέγονεν, καὶ ἐν ζωῇ κατηγορηθέντι καὶ μετὰ θάνατον ἀναθεματισθέντι ὑπὸ τῶν ἁγίων πατέρων, οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇ γοῦν παρ' αὐτῶν ἐκδικουμένῃ ἀσεβεῖ ἐπιστολῇ πιστευσάτωσαν, ἥτις εἰ καὶ τὰ μάλιστα Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει ὅτι καὶ ἐπ' ἐκκλησίας παρὰ ἁγίων πατέρων ἀνεθεματίσθη· καὶ ἐξ ἐκείνου πολλὴ ζήτησις γέγονεν περὶ τῶν αὐτοῦ συγγραμμάτων, ὡς ἀσεβείας δηλονότι πεπληρωμένων. τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολικῆς ἐκκλησίας διδάσκαλοι, ἐφ' ᾧ μὴ τοὺς ἁπλουστέρους τυγχά-
D νοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπε-
V 293 σθαι πίστεως. ὅτι δὲ οἱ ἀσεβεῖς εἰ καὶ μὴ τὸν κατὰ πρόσωπον ἐν ζωῇ δέξονται ἀναθεματισμόν, ὅμως καὶ μετὰ θάνατον ἀναθεματίζονται ὑπὸ τῆς καθολικῆς ἐκκλησίας δείκνυται ἐκ τῶν ἁγίων
R 844 συνόδων. ἡ μὲν γὰρ ἐν Νικαίᾳ τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα πρεσβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν, ἡ δὲ ἐν Κωνσταντινουπόλει τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν· ἀλλ' ὅμως ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ μετὰ θάνατον Ἄρειον καὶ Μακεδόνιον ὀνομαστὶ ἀναθεματίζει. ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι

3. Οὐαλεντίνῳ P. ib. Βασιλίδῃ PV. 6. οἷς om. V. 10. ἀναθεμ. P. 13. διδάσκαλοι om. V. 14. τῆς P. 15. οἱ om. P.

anathemati et post mortem subjicitur. Et hoc in multis haereticis et antiquioribus et propioribus factum est, id est, Valentino, Basilide, Marcione, Cerintho, Manichaeo, Eunomio, et Bonoso. Hoc autem idem et in Theodoro factum est, et in vita accusato, et post mortem anathematizato a sanctis Patribus. quibus si credere noluerint ut haeretici ejus defensores, vel impiae epistolae, quam ipsi defendunt, credant: quae licet Theodorum collaudet, manifeste tamen dicit, quod in Ecclesia a sanctis Patribus anathematizatus est, et ex illo plurima inquisitio facta est de ejus conscriptis, utpote plenis impietate. Hoc autem tunc faciebant Catholicae Ecclesiae Doctores, ne simpliciores legentes illius impia conscripta, a recta fide declinarent. Quod autem impii, licet non in vita in suam personam anathema susceperint, tamen et post mortem anathematizentur a Catholica Ecclesia, ostenditur a sanctis Synodis. Nicaena enim Synodus eos qui impii Arii sectam colunt, sine nomine anathematizavit. Quae autem Constantinopoli congregata est, impiam Macedonii haeresim
anathematizavit similiter condemnavit: sed tamen sancta Dei Ecclesia et post mortem Arium et Macedonium nominatim anathematizat. Cum autem ex multis

ὡς ἀσεβοῦσι διακενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντιποιούμενοι, ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσι, λέ- P 368
γοντες μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν τετελευτηκέναι. ἔδει δὲ αὐτοὺς εἰδέναι ὡς ἐκεῖνοι τελευτῶσιν ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν οἱ τὸ κοινὸν τῆς εὐσεβείας δόγμα τὸ ἐπὶ τῆς καθολικῆς κηρυττόμενον ἐκκλησίας μέχρι τέλους φυλάξαντες. οὗτος δὲ τῇ οἰκείᾳ ἐντελευτήσας ἀσεβείᾳ ἀπὸ πάσης ἐκκλησίας ἐξεβλήθη. ἀμέλει τοι καὶ πᾶν τὸ πλήρωμα τῆς ἐν Μομψουεστίᾳ ἐκκλησίας, ἐν ᾗ λέγεται ἐπίσκοπος γεγενῆσθαι, διὰ τὰς βλασφημίας, δι' ἅσπερ Ἕλλησί τε καὶ Ἰουδαίοις καὶ Σοδομίταις παρὰ τῶν ἁγίων πατέρων συνηριθμήθη, ἀπή- B
λειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς ἐκκλησίας διπτύχων τὴν τούτου προσηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πόλιν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὑπομνήματα δείκνυσιν.

Θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον οἰκειουμένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ ἐκκλησία ἐν ᾗ γέγονεν ἐπίσκοπος ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν ἀπεβάλετο. ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείᾳ τὴν τοιαύτην προβάλλονται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες ἔξεστι γνῶναι καὶ ἐξ αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος. ἐκεῖνος γὰρ νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γινώσκοντα C

1. διακενῶς P. 9. Μοψου. P. 11. ἀπείλειψαν P. 18. ἀπεβάλλετο PV. 20. περὶ P.

probationibus convincuntur, quod supervacue et impie agunt qui Theodorum et impietatem ejus defendunt, ad aliam vanam occasionem confugiunt, dicentes non oportere eum anathematizari eo quod in communicatione Ecclesiarum mortuus est. Oportebat autem scire eos, quod illi moriuntur in communicatione Ecclesiarum, qui commune pietatis dogma, quod in universali Ecclesia praedicatur, usque ad finem servaverunt. Iste autem usque ad mortem in sua permanens impietate, ab omni Ecclesia ejectus est. Itaque et omnis plenitudo Mopsuestenae Ecclesiae, in qua Episcopus dicitur fuisse, cum invenisset quod Paganis et Judaeis et Sodomitanis a sanctis Patribus connumeratus est, deleverunt ipsi ex illo a sacris Ecclesiae Diptychis ejus nomen, sicut gesta de hoc in eadem civitate apud Concilium Episcoporum illius Provinciae confecta ostendunt."

„Miramur igitur Theodori sequaces, qui eum et impietatem ejus tamquam suam defendunt, cum Ecclesia, in qua fuit Episcopus, utpote haereticum ex multis temporibus eum ejecerit. Quod autem ad condem- *ejecit. ita Leuncl.*
nationem suam talem occasionem proponunt defensores Theodori, scire licet et ex ipso adversus Judam facto tremendo judicio. Ille enim cum putasset latere eum qui occulta hominum cognoscit, sacramentis communicavit cum Apostolis: sed tamen nihil ei profuit quod cum dolo commu-

ἐκοινώνησε τῶν μυστηρίων τοῖς ἀποστόλοις. ἀλλ' ὅμως οὐδὲν
αὐτὸν ὤνησεν καὶ ἡ μετὰ ὑποκρίσεως κοινωνία, ἀλλ' οὐδὲ τὸ καὶ
μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητάς, ὥς
φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων, Θωμᾶς δὲ ὁ λεγόμενος δί-
δυμος, εἷς τῶν ιβ', οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς,
ἢ ἐξαιρεῖ τὸν Ἰούδαν τῆς κατακρίσεως ἢ συναριθμεῖσθαι ποιεῖ
R 846 τοῖς ἀποστόλοις. ἀμέλει τοι μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν οἱ
ἀπόστολοι δι' οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον
D κατεδίκασαν, καὶ ἕτερον ἀντεισήγαγον. ὅτι δὲ ματαίαν πρόφασιν
προβάλλονται λέγοντες μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀνα-
θεματίζεσθαι καὶ ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων ἀποδείξο-
μεν. τοὺς γὰρ ἀσεβεῖς καὶ ἔτι ζῶντας νεκροὺς ὀνομάζει, λέγων,
Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· ὥσπερ οὖν καὶ
τοὺς δικαίους τελευτήσαντας ζῶντας ἀποκαλεῖ· λέγει γὰρ περὶ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὅτι ὁ θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ
ζώντων. εἰ τοίνυν κατὰ τοὺς ἐκείνων λόγους οὐ χρὴ τοὺς αἱρετι-
κοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀνα-
θεματισθήσονται, οὓς ὁ κύριος νεκροὺς ἀποκαλεῖ διὰ τὸ ἀποκε-
P 869 χωρισμένους εἶναι αὐτοῦ τοῦ εἰπόντος, Ἐγώ εἰμι ἡ ζωή. καὶ κατ'
αὐτοὺς λοιπὸν οὔτε ζῶντες οὔτε τελευτῶντες αἱρετικοὶ ἀναθεμα-
τισθήσονται, καὶ μάτην κατ' ἐκείνους ἡ ἀποστολικὴ διδασκαλία
V 294 παραδέδωκεν ἀναθεματίζεσθαι τοὺς παραδιδόντας παρ' ὃ παρε-

2. ἡ et καὶ om. P. 4. Ἰωάννης] XX. 24. 9. ἀντ' αὐτοῦ εἰσήγαγον P. 11. ἀποδείξωμεν PV. 12. λέγων] Matth. VIII. 22. 14. καλεῖ P. ib. λέγει] XXII. 32. 18. κεχωρισμένους P. 20. οὔτε alterum om. P. 22. παρελάβομεν P.

Hoc anno, mense Februario, solemnia nuptiarum Theodosii filii Mauricii per VII. dies peracta sunt, ab XI. scilicet die, ad XV. ejusdem mensis Februarii. Sexto deinde Julii mensis die ejusdem V. Indictionis, proposito edicto, scriptum est reliqua parte anni, nempe usque ad Januarium VI. Indictionis, sic: *Et Consulatu ejusdem piissimi Domini nostri secundo.* Et Novembri mense ejusdem Indictionis, Focas miles una cum exercitu in Mauricium tyrannidem arripuit: ac Mauricius Tiberius cum uxore Constantina, et novem liberis, sex masculis, nempe Theodosio, Tiberio, Petro, Paulo, Justino, et Justiniano: et tribus filiabus, Anastasia, Theoctiste, et Cleopatra, fugit XXII. mensis Dii, secundum Romanos Novembris, noctu, illucescente jam XXIII. die feriae sextae. Focas autem XXIII. ejusdem mensis, feria VI. coronatur a Cyriaco Patriarcha Constantinopolitano in veneranda aede Sancti Joannis in Hebdomo. Die vero XXV. praedicti mensis, qui in Dominicam incidit, ab Hebdomo per Portam Auream, et Porticus Troadenses, et per totam Mediam plateam, obstante nemine, imo cunctis fausta apprecantibus, curru vectus Constantinopolim ingressus est.

R 868 Ἐκρατήθη δὲ Μαυρίκιος Τιβέριος μετὰ τῆς γυναικὸς καὶ ὀκτὼ τέκνων αὐτοῦ εἰς τὸν ἅγιον Αὐτόνομον, πλησίον Πραινέτου· καὶ τῇ κζ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ τρίτῃ, ἐσφάγη πλησίον Χαλκηδόνος αὐτὸς Μαυρίκιος καὶ Τιβέριος καὶ Πέτρος, Ἰουστῖ-
V 302 νος καὶ Ἰουστινιανός, καὶ Πέτρος δὲ ὁ ἀδελφὸς Μαυρικίου, κουροπαλάτης ὤν, συσχεθεὶς καὶ αὐτὸς ἐσφάγη, καὶ ἄλλοι δὲ συνεσχέθησαν ἄρχοντες. ἐσφάγησαν δὲ εἰς Διαδρόμους πλησίον
B τοῦ Ἀκρίτα Κωνσταντῖνος ὁ Λάρδυς, ἀπὸ ἐπάρχων γενόμενος πραιτωρίων καὶ λογοθέτης καὶ κουράτωρ τῶν Ὁρμίσδου, καὶ Θεοδόσιος ὁ υἱὸς Μαυρικίου, καὶ Κομεντίολος ὁ πατρίκιος καὶ στρατηλάτης καὶ αὐτὸς ἐσφάγη πέραν πλησίον τοῦ ἁγίου Κόνωνος πρὸς θάλασσαν, καὶ τὸ σῶμα αὐτοῦ ἐγένετο κυνόβρωτον.

Καὶ ἀπὸ κε' τοῦ αὐτοῦ νοεμβρίου μηνὸς εἰς τὸν λοιπὸν χρόνον, τὸν μέχρι δηλονότι ἰανουαρίου μηνὸς τῆς παρούσης ς' ἰνδικτιῶνος, ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Φωκᾶ ἔτους α'. ἐβασίλευσεν δὲ ὁ αὐτὸς Φωκᾶς ἔτη η'. ὁμοῦ ‚ςριθ'

4. *Μαυρίκιος Τιβέριος* P. 6. *ἐσφάγη* — 7. *ἄρχοντες* om. P. 8. *Λάρδις* P. 13. *μηνὸς νοεμβρίου* P. 16. Post ‚ςριθ' addit P quae V in margine ab alia manu: *Περὶ τεράτων, ἐκ τοῦ μεγάλου χρονογράφου* (de quo conf. annot. ad p. 336. B). *Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ Κομεντιόλῳ* (*στρατῷ Κομεντιόλου* R) *ὑπέθετο τὸ Ῥωμαϊκὸν στράτευμα παραδοῦναι πολεμίοις δι' ἀπαξίας αὐτῶν. ὅστις νυκτὸς μεσούσης τοῦτο ἐποίησε, καὶ κελεύει τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν συστήσασθαι πόλεμον. αὐτοὶ δὲ ὑπειληφότες ὅτι* (*ὅτι* in V non satis apparet) *τοῦ*

Comprehensus est autem Mauricius Tiberius cum uxore et octo liberis versus Sanctum Autonomum juxta Praenetum: et XXVII. ejusdem mensis die, feria III. interfectus est juxta Chalcedonem idem Mauricius Tiberius, una cum Petro, Justino, et Justiniano: Petrus etiam Curopalata, Mauricii frater, qui pariter captus fuerat. Interfecti perinde ad Diadromos juxta Acritam Constantinus Lardis Ex-Praefecto Praetorio et Logotheta et Curator Palatii Hormisdae, et Theodosius Mauricii filius. Ipse etiam Commentiolus Patricius et Magister militum caesus est trans urbem juxta aedem sacram Sancti Cononis, versus mare, illiusque corpus canibus vorandum est expositum.

Et a die XXV. ejusdem mensis in reliquum annum, scilicet usque ad mensem Januarium praesentis VI. Indictionis, adscriptum est in publicis commentariis, *Imperii Focae anno primo.* Imperavit vero idem Focas annos VIII. Collig. anni VI. MCXIX.

*) DE PRODIGIIS, EX MAGNO CHRONOGRAPHO.

Mauricius Imperator dedit in mandatis Duci Commentiolo ut Romanum exercitum hostibus proderet, propter crebras illius seditiones: idque ille sub mediam noctem aggressus, imperavit ut milites arma sumerent, nec iis significavit fore ut cum hoste confligerent. Ii rati exercitationis

Ἰνδ. ϛʹ. αʹ. ὑπ. Φωκᾶ Αὐγούστου μόνου. P 380 R 870

Τούτῳ τῷ ἔτει Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἐβλήθη
ἐν μοναστηρίῳ. καὶ γεγόνασι κληρικοὶ Φιλιππικὸς ὁ πατρίκιος
καὶ κόμης ἐξκουβιτόρων καὶ Γερμανὸς ὁ πατρίκιος, πενθερὸς γενό-
μενος Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου. εἶτα στάσεως δημοτικῆς
γενομένης ἐκαύθη ἡ μέση ἀπὸ τῶν Λαύσου καὶ τὸ πραιτώ-
ριν τοῦ ἐπάρχου τῆς πόλεως ἕως τῆς Ἄρκας ἄντικρυ τοῦ φόρου B
Κωνσταντίνου τοῦ τῆς θείας λήξεως, ὄντος ἐπάρχου πόλεως
Λεοντίου τοῦ ἀπὸ κουρατόρων τῶν Ἀντιόχου. ἐκαύθη δὲ εἰς τὴν
μέσην μεταξὺ τοῦ πραιτωρίου τοῦ ἐπάρχου τῆς πόλεως καὶ τοῦ

γυμνασίου ἕνεκεν σιδηροφορεῖν αὐτοῖς ἐκέλευσεν, οὐ πρὸς πόλεμον, ὡς ἔδει, ὁπλίσαντες (ὥπλισαν ἑαυτοὺς m. R, ὡπλίσαντο m. P). ὅθεν καὶ ἡμέρας γενομένης θόρυβος τὸν στρατὸν κατέλαβεν, καὶ τοῦ στρατοῦ τὰς τάξεις ταράσσοντες οἱ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρόντες τοὺς μὲν ἀνηλεῶς κατέσφαξαν, τοὺς δὲ ἀνδραποδώδεις καὶ πολλοὺς αἰχμαλώτους τῆς Θρᾴκης ἐποιήσαντο εἶτα τοὺς αἰχμαλώτους ἀναλαβὼν ὁ βάρβαρος Χαγάνος τῷ βασιλεῖ ἐδίδου λύτρον ὑπὲρ αὐτῶν κατὰ ψυχῆς νόμισμα αἰτήσας. ὁ δὲ μνησικακῶν τῷ ἰδίῳ στρατῷ δοῦναι οὐκ ἠνέσχετο. καὶ πάλιν ὁ Χαγάνος ᾐτήσατο αὐτὸν (τὸ ἥμισυ addit P) νόμισμα (ἀντὶ addit m. R) ἑκάστης ψυχῆς λαβεῖν. τοῦ δὲ μηδὲ τέσσαρα κεράτια λαβεῖν τοὺς αἰχμαλώτους ἀπολογησαμένου, θυμωθεὶς ὁ Χαγάνος πάντας ἀπέκτεινεν· φόρους ἐπέθετο τοῖς Ῥωμαίοις χιλιάδας νʹ. καὶ ὑπὲρ τοῦ τοιούτου ἀνοσιουργήματος ὑπέσχε δίκην σφαγῆς, ἐῤῥηγμένος σὺν γυναιξὶ (τε addit P) καὶ τέκνοις καὶ τοῖς προσήκουσιν. 6. πραιτώριον P. 10. μεταξὺ] τάξιν P.

603. I. Ind. VI. Foca Augusto solo Cos. 8. Anni a m. c.
Hoc anno Constantina Ex-Imperatrice in monasterium trusa est. 6111.
Philippicus Patricius et Comes Excubitorum, et Germanus Patricius, Theodosii, Mauricii filii, socer, in Clericos sunt attonsi. Seditione deinde populari mota, conflagravit Media urbis platea a Palatio Lausi, et Praetorium Praefecti Urbi, usque ad Arcam, e regione Fori Constantini divae memoriae, cum esset Praefectus Urbi Leontius Ex-Curatore Palatii Antiochi. Igne etiam consumptus est inter Praetorii Praefecti Urbi et

causa arma esse imperata, non vero ad praelium ineundum, minime ut res exigebat se armarunt. Unde appetente die, tumultus et pavor exercitum occupavit. Barbari autem turbatis ordinibus milites absque duce nacti, alios crudeliter mactarunt, alios in servitutem, multos denique ex Thracia in captivitatem abduxerunt. Chaganus barbarus receptis captivis, hos Imperatori reddendos obtulit, si in singula capita aureum vellet exsolvere. At Imperator iratus suis militibus, id negavit. Rursum Chaganus in singula capita dimidium duntaxat aureum exegit. Imperatore vero ne quatuor quidem ceratiis captivos redempturum se respondente, ira succensus Chaganus omnes occidit, et Romanis tributum quinquaginta millium aureorum imposuit. Hujus igitur inhumani impiique facinoris causa imperator poenas dedit, cum uxore, liberis, et propinquis interemptus.

φόρου ὁ διοικητὴς τοῦ Πρασίνου μέρους Ἰωάννης ὁ ἐπίκλην Κροῦκις.

τμς' Ὀλυμπιάς.

Ἰνδ. ζ. β'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου.

V 303 Ἰνδ. η'. γ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ α'.

Τούτῳ τῷ ἔτει μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους ἰουνίῳ, ἡ-
C μέρᾳ ζ' ἀποτέμνεται Θεόδωρος ὁ ἔπαρχος πραιτωρίων, Ἰωάννης ἀντιγραφεύς, Ῥωμανὸς σχολαστικός, Θεοδόσιος σουβαδιουβᾶ τοῦ μαγίστρου, Πατρίκις ἰλλούστριος, ἀνεψιὸς Δομνιζιόλου κουράτορος γενομένου τῶν Ὁρμίσδου, Ἰωάννης καὶ Τζίττας σπαθάριοι καὶ κανδιδᾶτοι, Ἀθανάσιος κόμης λαργιτιώνων, Ἀνδρέας ἰλλούστριος ὁ ἐπίκλην τοῦ Σκόμβρου, καὶ Ἐλπίδις ἰλλούστριος. οὗτος ἐγλωσσοτομήθη, καὶ ἐπήρθη αὐτοῦ τὰ δ' ἄκρα, καὶ εἰς κραβατταρίαν ἐπόμπευσεν καὶ κατηνέχθη πρὸς θάλασσαν· καὶ ἐξορυχθέντων τῶν ὀφθαλμῶν αὐτοῦ βληθεὶς εἰς κάραβον ἐκαύθη. οἱ δὲ ἄλλοι οἱ προδηλούμενοι ἀπετμήθησαν, ὡς εὑρεθέντες ἐπί-
D βουλοι τοῦ βασιλέως Φωκᾶ.

Κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἀπετμήθη πέραν εἰς τὸν μῶλον τῶν Εὐτροπίου, πλησίον Χαλκηδόνος, καὶ τὰ ὑπολειφθέντα αὐτῆς τε καὶ Μαυρικίου θή-

8. ὁ σουβ. P. 9. Πατρίκιος P. ib. Δομνιζόλου P. 10. Τζίτας σπαθάριος P. 12. Ἐλπίδιος P. 16. εὑρηθέντες P. 18. δὲ om. P. 19. μῶλον τὸν P. 20. ὑποληφθέντα PV.

Fori spatium, Joannes, cognomento Crucis, Dioecetes Factionis Prasinae.

CCCXLVI. Olympias.

604. II. Ind. VII. Post Cons. Focae Augusti. 4.

605. III. Ind. VIII. Post Cons. Focae Augusti I. 1. 346.

Hoc anno, mense Desio, secundum Romanos, Junio, die VII. capite plectitur Theodorus Praefectus Praetorio, Joannes Magister Scriniorum, Romanus Scholasticus, Theodosius Subadjuva Magistri, Patricius Illustris, consobrinus Domnizoli Curatoris Palatii Hormisdae, Joannes, et Tzitas Spatharius, et Candidati, Athanasius Comes Largitionum, Andreas Illustris cognomento Scombrus, et Elpidius Illustris. Huic exsecta est lingua, et quatuor extremis corporis patribus in lectulum sublatis, ad spectaculum circumductus, et ad mare relatus, ibique effossis oculis, in naviculam conjectus, concrematus est. Aliis vero supra memoratis capita sunt amputata, cum deprehensi essent conspirasse in Imperatorem Focam.

Eadem tempestate, Ex-Imperatrice Constantina trans urbem in Portu Eutropii ad Chalcedonem capite plexa est, ut et qui supererant illius et

λεα τέκνα, Ἀναστασία, Θεοκτίστη καὶ Κλεοπάτρα, καὶ αὐτὰ ἀνῃρέθη μετὰ τῆς θυγατρὸς Γερμανοῦ τῆς γενομένης γαμετῆς Θεοδοσίου, καὶ αὐτὸς δὲ Γερμανὸς μετ' αὐτῶν ἀνῃρέθη.

Ἰνδ. θ'. δ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ β' R 872

Τούτῳ τῷ ἔτει τελευτᾷ Κυριακὸς πατριάρχης Κωνσταντι- P 881 νουπόλεως μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ, κθ', ἡμέρᾳ ζ'. καὶ κηδεύεται τῇ τριακοστῇ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ πρώτῃ, καὶ ἀπετέθη τὸ αὐτοῦ λείψανον πρὸς συνήθειαν εἰς τοὺς ἁγίους Ἀποστόλους.

Ἰνδ. ι'. ε'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ γ'.

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίῳ, κγ', γέγονε πατριάρχης ἐν Κωνσταντινουπόλει Θωμᾶς ἀπὸ διακόνων τῆς μεγάλης ἐκκλησίας καὶ σακελλάριος τοῦ πατριάρχου καὶ ἐπάνω τῶν χειροτονιῶν.

τμζ' Ὀλυμπιάς. B

Ἰνδ. ια'. ϛ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ δ'.

Ἰνδ. ιβ'. ζ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ε'.

Ἐντεῦθέν ἐστιν ἑλεῖν ὡς ἀφ' οὗπερ ὁ τρισμακάριος Κωνσταντῖνος ἐτελεύτησεν τὸν βίον μέχρι τῆς κβ' τοῦ μαΐου μηνὸς τῆς ἐνεστώσης ιβ' ἐπινεμήσεως καὶ τοῦ ζ' ἔτους τῆς Φωκᾶ βασιλείας πληροῦνται χρόνοι σοβ', ἄρχεται δὲ τὸ σογ' ἀπὸ κβ' τοῦ

11. κγ' ἰανουαρίου P. 21. δὲ om. P.

Mauricii liberi sequioris sexus, Anastasia, Theoctista, et Cleopatra: eaeque cum Germani filia, Theodosii uxore sublatae: ipseque Germanus una cum illis sublatus est. Anni am. c.

606. IV. Ind. IX. Post Cons. Focae Augusti II. 2. 6114.

A. C. [Ol. Iph.]

Hoc anno, Cyriacus Patriarcha Constantinopolitanus moritur mense Hyperberetaeo, secundum Romanos, Octobri, die XXIX. feria VII. illiusque funus curatum est XXX. ejusdem mensis, feria I. et depositum est corpus illius juxta morem receptum in aede Sanctorum Apostolorum.

607. V Ind. X. Post Consulatum Focae Augusti III. 3.

Hoc anno, mense Audynaeo, secundum Romanos XXIII. Januarii, dictus est Patriarcha Constantinopolitanus Thomas Ex-Diacono magnae Ecclesiae, et Sacellarius Patriarchae, ac Ordinationibus Praepositus.

CCCXLVII. Olympias.

608. VI. Ind. XI. Post Cons. Focae Augusti IV. 4.

609. VII. Ind. XII. Post Cons. Focae Augusti V. 1. 347.

Hinc licet colligere, quod ex quo terbeatus Constantinus vitam finiit, usque ad XXII. Maii mensis praesentis Indictionis XII. et VII. annum Focae imperii, absolvuntur anni CCLXXII. incipit vero annus CCLXXIII. a XXII.

μαΐου μηνὸς, ἰνδικτιῶνος ιβ΄. εἰ γὰρ ἡ πεντηκοστὴ κατὰ τὴν κβ΄
C γέγονε τοῦ μαΐου μηνὸς ἐν ἐκείνῳ τῷ χρόνῳ, ἀναντιῤῥήτως ἡ
ἀναστάσιμος τῇ τρίτῃ γέγονε τοῦ ἀπριλίου μηνός, ὥστε τὴν
πρώτην ἐκείνου τοῦ ἀπριλίου ἐν παρασκευῇ εἰσελθεῖν. πρόσθες
οὖν τοῖς σοβ΄ τὸ τέταρτον, τουτέστιν ξη΄, καὶ γίνονται τμ΄.
ταῦτα ἀνάλυσον ἀπὸ τῶν ζ΄, καὶ περιττεύουσι δ΄. ἐπεὶ οὖν ἐν
παρασκευῇ τότε ὁ ἀπρίλιος εἰσῆλθεν, ποίησον παρασκευήν, σάβ-
βατον, κυριακήν, δευτέραν, καὶ λοιπὸν τὸ σογ΄ ἄρχεται εἰς
V 304 τρίτην. εὑρίσκεται ἄρα ὁ ἀπρίλιος ἐπὶ τῆς ἐνεστώσης ἡλιακῆς ιβ΄
ἰνδικτιῶνος, σεληνιακῆς δὲ ιθ΄, εἰσιὼν ἐν τρίτῃ τῆς ἑβδομάδος
ἡμέρᾳ, ὅπερ καὶ ἔστιν. πλὴν ἀλλὰ καὶ τῷ πασχαλίῳ καὶ τοῖς
D ὑπαταρίοις ἐντυχὼν ηὗρον τὴν ψηφοφορίαν ταύτην συνᾴδουσαν.
εἰσὶν οὖν ἀπὸ μὲν τῆς τελευτῆς Κωνσταντίνου ἕως νῦν χρόνοι
σοβ΄, ἀπὸ δὲ τῆς εἰκοσαετηρίδος αὐτοῦ σπα΄ πλήρεις.

Ἐγένετο δὲ καὶ τὸ πάσχα πρὸ τῶν σοβ΄ ἐνιαυτῶν ἐν ἰνδι-
κτιῶνι σελήνης ιγ΄, Ὀλυμπιάδος σοθ΄ ἔτει δευτέρῳ, ἀπριλίου
τρίτῃ.

R 874 Ὕπατοι δὲ ἀπὸ Φηλικιανοῦ καὶ Τατιανοῦ εἰσιν σοβ΄ ἕως
P 382 τοῦ πάσχα τῆς ιθ΄ ἡλιακῆς ἰνδικτιῶνος τῆς νῦν ἐνισταμένης.

Τούτῳ τῷ ἔτει ἐπληρώθη ὁ σύνθετος κίων ὁ ἀνοικοδομη-
θεὶς ὑπὸ Φωκᾶ τοῦ βασιλέως μετὰ καὶ τῆς κιστέρνης κατὰ τὸ

3. ὥστε] ὡς ὅτε V, ὡς ὅτι P. 8. τὸ om. P. 10. εἰσ σιὼν V. ib. τῆς] τῇ P. 12. ψηφηφοφορίαν P. 14. κ΄ετηρίδος P. 15. καὶ om. P. 16. σελήναις R.

mensis Maii Indictionis xii. Nam si Pentecoste incidit in xxii. Maii illo anno, absque ulla controversia dies Resurrectionis fuit iii. die mensis Aprilis, cum in Parasceve, seu die Veneris, dies primus ejusdem mensis Aprilis contigerit. Adde igitur cclxxii. partem quartam, hoc est lxviii. tum prodibunt cccxl. haec divide a vii. tum supererunt iv. Quia ergo die Parasceves Aprilis tunc ingressus est, fac (seu numera) Parasceven, Sabbatum, Dominicam, et feriam ii. deinceps feria iii. incipiet annus cclxxiii. Reperitur ergo Aprilis, praesente Indictione, sive Cyclo solari xii. lunari vero xix. feria iii. hebdomadis incipere, quod et ita est. Quinetiam Paschalium et Fastos Consulares revolvens, animadverti huncce nostrum calculum cum iis consentire. Sunt igitur a morte quidem Constantini usque hodie an. cclxxii. a xx. autem imperii illius anno, seu a Vicennalibus, cclxxxi. anni completi.

Celebratum est autem Pascha ante annos cclxxii. in Indictione x. luna xiii. Olympiadis cclxxix. anno ii. die iii. Aprilis.

Consules vero a Feliciano et Tatiano sunt cclxxii. usque ad Pascha Cycli solaris xix. praesentis Indictionis.

A. C. [Ol. Iph.]

Hoc anno, Columna ex variis lapidibus conflata, a Foca Imperatore

ἀνατολικὸν μέρος τῆς ἐκκλησίας τῶν ἁγίων μ' πλησίον τοῦ χαλκοῦ τετραπύλου.

Τούτῳ τῷ ἔτει ἀποστατοῦσιν Ἀφρικὴ καὶ Ἀλεξάνδρεια· καὶ σφάζεται ἀπὸ ἐναντίων ὁ πάπας Ἀλεξανδρείας. παύεται δὲ καὶ Ἰσάκιος ἀπὸ Ἱεροσολύμων, καὶ γίνεται ἀντ' αὐτοῦ Ζαχαρίας ἀπὸ πρεσβυτέρων καὶ σκευοφυλάκων τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ Ἔδεσα ὑπὸ Πέρσας γίνεται.

Ἰνδ. ιγ'. η'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ς'. B

Τούτῳ τῷ ἔτει, μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ κ', ἡμέρᾳ ς', τελευτᾷ Θωμᾶς πατριάρχης Κωνσταντινουπόλεως, καὶ κηδεύεται τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ α', καὶ τῇ η' τοῦ ἀρτεμισίου μηνός, κατὰ Ῥωμαίους ἀπριλίου, τῆς αὐτῆς ιγ' ἰνδικτιῶνος τῷ μεγάλῳ σαββάτῳ γέγονε πατριάρχης Κωνσταντινουπόλεως Σέργιος διάκονος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως καὶ πτωχοτρόφος, φροῒξ λιμένος.

Καὶ κατὰ τὸ πέρας τοῦ σεπτεμβρίου μηνὸς τῆς ιδ' ἰνδικτιῶνος ἀπηγγέλη ὡς Ἀναστάσιος πατριάρχης γενόμενος Ἀντιοχείας ὁ C ἀπὸ σχολαστικῶν ἀνῃρέθη ὑπὸ στρατιωτῶν.

Τούτῳ τῷ ἔτει μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ γ', ἰνδικτιῶνος ιδ', ἡμέρᾳ ζ', ἀναφαίνονται πλοῖα ἱκανὰ κατὰ τὸ στρογγυλοῦν καστέλλιν, ἐν οἷς ἦν καὶ Ἡράκλειος ὁ υἱὸς

4. Ἀλεξανδρέων P. 7. Αἴδεσα V, Ἀίδεσα P. 12. ἀρτεμισίου] ξανθικοῦ Ducangius. 16. ἰνδικτιῶνος ιδ' ἀπήγγελε P. 19. ὀκτωβρίων V.

absoluta est, una cum Cisterna, versus Orientalem partem Ecclesiae sanctorum XL. juxta Aereum Tetrapylum. Anni a m. c.

Hoc anno, Africa et Alexandria deficiunt: et Papa Alexandrinorum ab adversariis occiditur. Abdicatur vero Isacius Hierosolymorum Pontifex, et in ejus locum sufficitur Zacharias Ex-Presbytero et Ex-Scevophylace Ecclesiae Constantinopolitanae: et Aedessa in Persarum potestatem venit.

610. VIII. Ind. XIII. Post Cons. Focae Augusti VI. 2. 6118.

Hoc anno, mense Dystro, secundum Romanos Martio, XX. feria VI. moritur Thomas Patriarcha Constantinopolitanus, et XXII. ejusdem mensis, feria I. terrae mandatur. Et VIII. Artemisii, secundum Romanos Aprilis, ejusdem Indict. XIII. magno Sabbato, Constantinopoleos Patriarcha creatus est Sergius, Magnae Ecclesiae Constantinopolitanae Diaconus, et Ptochiorum Praefectus, Custos Portus.

Sub exitum mensis Septembris, Indict. XIV. renuntiatum est Anastasium Patriarcham Antiochenum, Ex-Scholastico a militibus fuisse interemptum.

Hoc anno, mense Hyperberetaeo, secundum Romanos Octobri, III. Indictionis XIV. feria VII. apparuere naves plurimae versus Castellum ro-

Ἡρακλείου. καὶ τότε εἰσέρχεται Φωκᾶς κατ' αὐτὴν τὴν ἡμέραν ἀπὸ τοῦ προκέσσου τοῦ Ἑβδόμου περὶ ἑσπέραν, καὶ ἔρχεται καβαλλάρις εἰς τὸ παλάτιν τῆς πόλεως. καὶ τῇ ἑξῆς ἡμέρᾳ, τουτέστιν τῇ κυριακῇ, πλησιασάντων τῶν πλοίων τῇ πόλει, Βόνωσος,
D ὅστις τὰ πάνδεινα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ κατ' ἐπιτροπὴν Φωκᾶ διεπράξατο, εἰσηγήσει Θεοφάνους τοῦ τῆς ἀνασκάφου μνήμης, τότε ὧδε ὢν ἐν τῇ πόλει, μετὰ τὸ βαλεῖν αὐτὸν πῦρ πλησίον τῶν Καισαρίου καὶ ἀστοχῆσαι ἔφυγεν, καὶ ἐλθὼν μετὰ καράβου εἰς
R 876 τὸν Ἰουλιανοῦ λιμένα κατὰ τὰ λεγόμενα Μαύρου, στενωθεὶς ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ λαβὼν μετὰ σπαθίου πληγὴν ἀπὸ ἑνὸς ἐξκουβίτωρος, ὡς ἦν εἰς θάλασσαν, ἀπέθανεν· καὶ ἐκβληθέντος τοῦ σκηνώματος αὐτοῦ ἐσύρη καὶ ἀπηνέχθη εἰς τὸν Βοῦν καὶ ἐκαύθη.

P 888 V 805 Καὶ τῇ ϛ' τοῦ αὐτοῦ μηνός, διαφαούσης ἡμέρας β', Φῶτις ὁ κουράτωρ τῶν Πλακιδίας καὶ Πρόβος ὁ πατρίκιος ἐπῆραν Φωκᾶν ἐκ τοῦ Ἀρχαγγέλου τοῦ παλατίου ὁλόγυμνον, καὶ ἀπήγαγον διὰ τοῦ λιμένος ὡς ἐπὶ τὸν οἶκον τῶν Σοφίας, καὶ βαλόντες αὐτὸν εἰς κάραβον ἔδειξαν τοῖς πλοίοις. καὶ τότε ἀποφέρουσιν αὐτὸν πρὸς Ἡράκλειον, καὶ ἐπαρθείσης ἀπὸ τοῦ ὤμου τῆς δεξιᾶς αὐτοῦ καὶ τῆς κεφαλῆς, ἡ μὲν χεὶρ αὐτοῦ περιεπάρη σπαθίῳ, καὶ οὕτω περιήχθη τὴν μέσην εἰσαγομένη ἀπὸ τοῦ φόρου. ἡ δὲ κε-

2. προκένσου V a correctore. 3. παλάτιον P. 5. τῇ om. P. 8. Καισαρείου V. ib. ἀποστῆσαι P. 14. Φώτιος P. 17. τὸν Σ. PV.

tundum, in quibus erat et Heraclius, Heraclii filius. Tum Focas a secessu Hebdomi eodem ipso die sub vesperam equo venit in urbis Palatium: ac proxime sequenti, qui in Dominicam incidit, navigiis ad urbem appellentibus, Bonosus, qui in Magna Antiochia Focae jussu, ac impulsu damnandae memoriae Theophanis, atrocia facinora perpetrarat, cum tum esset Constantinopoli, immisso in urbis tractum, qui Caesarii aedibus adjacet, igne, defecit, fugamque arripuit. Ac veniens cum navicula in Portum Juliani, ad locum qui Mauri dicitur, redactus ad angustias, seipsum praecipitem dedit in mare, acceptoque ab quodam Excubitore vulnere ictus gladii in mari, ut erat, mortem oppetiit: cujus ejectum cadaver raptum tractumque est ad Bovem, ubi exustum est.

Anni a m. c. Die VI. ejusdem mensis, feria II. illucescente, Photius Curator Domus Placidiae, et Probus Patricius raptum Focam ex Archangeli Palatio, omnibus nudatum vestibus, deduxerunt per Portum, versus Aedem Sophiae, ac in navem conjectum, ostenderunt classi: deinde ad Heraclium adduxerunt. Cujus Focae praecisa ab humero dextra, et amputato capite, ipsius quidem manus ensis infixa cuspidi, a Foro per Mediam Urbis plateam est traducta: caput autem conto seu hastae impositum

φαλὴ αὐτοῦ ἐβλήθη εἰς κοντάριν, καὶ οὕτω καὶ αὐτὴ περιήχθη· τὸ δὲ ἄλλο αὐτοῦ σῶμα ἐπὶ κοιλίαν συρόμενον ἠνέχθη ὡς ἐπὶ τὴν Χαλκῆν τοῦ Ἱππικοῦ, ὄπιθεν δὲ αὐτοῦ τοῦ σκηνώματος ἐσύρη καὶ Λεόντις ὁ Σύρος ὁ ἀπὸ σακελλαρίων, καὶ ἔτι ἐμπνέοντος αὐτοῦ δέδωκεν αὐτῷ τις μετὰ ξύλου κατὰ τὴν Χαλκῆν τοῦ Ἱππι- B κοῦ, καὶ τότε ἀπέθανεν, καὶ ἐπήρθη ἡ κεφαλὴ αὐτοῦ, καὶ οὕτως ἀπενεχθέντων τῶν σκηνωμάτων αὐτοῦ καὶ Φωκᾶ εἰς τὸν Βοῦν, καὶ αὐτὰ κατεκαύθη. ὁμοίως δὲ ἐκαύθη εἰς τὸν Βοῦν καὶ ὁ μαππάρις καὶ ὁ ταξεώτης τοῦ ἐπάρχου τῆς πόλεως, ὁ ἐπιλεγόμενος ἀπὸ Δαιμονιαρίων.

Καὶ περὶ ὥραν ἐνάτην αὐτῆς τῆς δευτέρας ἡμέρας ἐστέφθη Ἡράκλειος βασιλεὺς ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως. καὶ ἐπὶ τὴν ἑξῆς ἡμέραν τρίτην ἱπποδρομίας ἀγομένης εἰσήχθη ἡ κεφαλὴ Λεοντίου τοῦ Σύρου, καὶ ἐκαύθη εἰς τὸ Ἱππικὸν μετὰ καὶ τῆς εἰκόνος Φωκᾶ, C ἥντινα εἰσῆγον ἐν τῇ ζωῇ αὐτοῦ εἰς τὸ Ἱππικὸν μετὰ κηραψίας ἀσπροφοροῦντες οἱ μάταιοι τῶν ἀνθρώπων. ἐκαύθη δὲ κατ' αὐτὸν καὶ τὸ Βένετον βάνδον.

Ἰνδ. ιδ'. α'. βασιλείας Ἡρακλείου Αὐγούστου.

Ἀπὸ ζ καὶ αὐτῆς τοῦ ὀκτωβρίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος μέχρι τρισκαιδεκάτης τοῦ ἰανουαρίου μηνὸς τῆς αὐ- D

3. ὄπισθεν P. 4. Λέων τις P. ib. πνέοντος P. 5. τις] τῆς P. 8. τὸν om. P. 11. ἐννάτην P. 14. τρίτῃ V. 19. Ἡράκλειος supra scribit P. 20. ιδ' om. P.

pariter circumductum est: corporis vero truncus per ventrem raptatus, versus Chalcen Hippodromi est delatus. Pone quem tractus est Leo Syrus Ex-Sacellario, qui cum adhuc spiraret, juxta eandem Chalcen ligno in eum a nescio quo impacto, statim interiit: illius vero caput in sublime est elatum, atque ita delata ad Bovem ipsius et Focae cadavera igne consumpta sunt. Similiter etiam combustus est ad Bovem et Mapparius et Apparitor Praefecti Urbi, cognomento a Daemonariis.

Hora porro IX. ejusdem feriae II. coronatus est Heraclius in Imperatorem a Sergio sanctissimae Magnae Ecclesiae Constantinopolitanae Patriarcha. Die vero abhinc tertio, dum Circenses celebrarentur, illatum est Leontii Syri caput, et in Hippodromo crematum: unaque cum illo Focae imago igne consumpta, quam, dum superstes esset, hominum vanissimi, vestibus induti candidis, cum accensis cereis, in circum intulerant. Combustum est pariter eodem tempore Vexillum Venetum.

A. C. [Ol. Iph.]

HERACLIUS.

611. I. Ind. XIV. Imperii Heraclii Augusti (annus I.). 3. 6119.

Ab ipso VII. Octobris mensis die praesentis Indictionis, usque ad XIV. Januarii mensis, ejusdem Indictionis, scriptum est in actis publicis, *Im-*

R 878 τῆς ἰνδικτιῶνος ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Ἡρακλείου.
καὶ ἀπὸ ιδ' καὶ αὐτῆς τοῦ αὐτοῦ μηνὸς ἐγράφη εἰς τὸν ἑξῆς χρόνον, τὸν μέχρι δηλονότι δεκεμβρίου πληρουμένου τῆς ιε' ἐπινεμήσεως, οὕτως· καὶ ὑπατείας τοῦ αὐτοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου. εἰ γὰρ καὶ μὴ προῆλθεν ἐπὶ δίφρου, ἀλλ' οὖν ἐκρίθη λογισθῆναι αὐτῷ εἰς ὑπατείαν.

Τούτῳ τῷ ἔτει μηνὶ ξανθικῷ, κατὰ Ῥωμαίους ἀπριλίου κ', ἡμέρᾳ γ', ὥραν ζ', γέγονε σεισμὸς μέγας, ὡς ἐξ ἀνάγκης πρὸ
P 384 πεντηκοστῆς τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ ε', λιτὴν γενέσθαι εἰς τὸν Κάμπον καὶ ψαλθῆναι τὸ Τρισάγιον. καὶ τῇ ζ' τοῦ ἰουλίου μηνὸς τῆς αὐτῆς ιδ' ἰνδικτιῶνος, ἡμέρᾳ δ', ὥραν η', ἐτέχθη Ἐπιφανία ἡ θυγάτηρ Ἡρακλείου καὶ Εὐδοκίας ἐν προκέσσῳ τῆς Ἱερείας.

τμη' Ὀλυμπιάς.

Ἰνδ. ιε'. β'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐου γ', ἡμέρᾳ δ', ἐτέχθη εἰς τὸ προκέσσον Σοφιανῶν Ἡράκλειος νέος Κωνσταντῖνος, υἱὸς Ἡρακλείου καὶ Εὐδοκίας.
V 306 Καὶ τῇ ιγ' τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ιε' ἰνδικτιῶνος,
B ἡμέρᾳ πρώτῃ, ἐτελεύτησεν εἰς τὸ προκέσσον Βλαχερνῶν Εὐδοκία ἡ Αὔγουστα ἡ καὶ Φαβία. καὶ ἐνεχθέντος τοῦ λειψάνου αὐτῆς

11. ὥρᾳ P sola. 12. Ἐπιφάνεια PV etiam infra. 21. Αὐγούστη P.

Anni a m. c. *perante Heraclio*, et a XIV. ejusdem Indictionis ipsius mensis, scriptum est in reliquum anni, usque ad Decembrem scilicet expletum XV. Indictionis, sic, *Et Consulatu ejusdem Piissimi Domini nostri*. Licet enim in sella curuli non processerit, illud tamen tempus ejus Consulatui adscribi debere aequum visum est.

Eodem anno, mense Xanthico, juxta Romanos Aprilis XX. feria III. hora VII. ingens adeo terrae motus extitit, ut ante Pentecosten die XXII. populus coactus fuerit supplicationes in campo peragere, et Trisagium psallere VII. vero Julii mensis, ejusdem XIV. Indictionis, feria IV. hora VIII. nata est Epiphania filia Heraclii et Eudociae in secessu Hieriae.

A. C. [Ol. Iph.]

CCCXLVIII. Olympias.

6120. 612. II. Ind. XV. Post Cons. Heraclii Augusti. 4.

Hoc anno, mense Artemisio, secundum Romanos, Maii III. feria IV. natus est in secessu Sophianarum Heraclius Novus Constantinus, Heraclii et Eudociae filius.

Et XIII. Augusti, XV. Indictionis, feria I. mortua est in secessu Blacheraarum Eudocia Augusta, Fabia dicta, illiusque funus navigio in Ur-

πλοῖ ἐν τῷ παλατίῳ τῆς πόλεως, ἐπὶ τὴν ἑξῆς ἐκηδεύθη, καὶ ἐτάφη εἰς τοὺς Ἀποστόλους.

Καὶ τῇ δʹ τοῦ ὑπερβερεταίου μηνός, κατὰ Ῥωμαίους ὀκτωβρίου μηνός, ἰνδικτιῶνος αʹ, ἡμέρᾳ δʹ, ἐστέφθη τὸ παιδίον Ἐπιφανία ἡ καὶ Εὐδοκία εἰς τὸν ἅγιον Στέφανον εἰς τὸ παλάτιν. καὶ καθεσθεῖσα εἰς δίφρον, παρακολουθούντων Φιλαρέτου κουβικουλαρίου καὶ χαρτουλαρίου καὶ Συνέτου καστρησίου, ἀπῆλθε πρὸς συνήθειαν εἰς τὴν μεγάλην ἐκκλησίαν. C

Τῷ αὐτῷ ἔτει μηνὶ ἀπελλαίῳ, κατὰ Ῥωμαίους δεκεμβρίῳ εʹ, ἡμέρᾳ γʹ, γέγονε κληρικὸς Πρίσκος ὁ κόμης τῶν ἐξκουβιτώρων, καὶ ἀντ' αὐτοῦ γέγονε κόμης ἐξκουβιτώρων Νικήτας ὁ πατρίκιος.

Τούτῳ τῷ ἔτει ἐτέθη ἐπάνω τοῦ συνθετοῦ κίονος τοῦ κατ' ἀνατολὰς τῆς ἐκκλησίας τῶν ἁγίων μʹ ὁ τίμιος σταυρός, ὄντος ἐπάρχου πόλεως Θεοδώρου τοῦ ἀπὸ νοταρίων τῆς βασιλικῆς.

Ἰνδ. αʹ. γʹ. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ βʹ. R 880

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίῳ D κβʹ, ἡμέρᾳ δευτέρᾳ, ἐστέφθη τὸ παιδίον Ἡράκλειος νέος Κωνσταντῖνος βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἡρακλείου εἰς τὸ παλάτιν· καὶ εὐθέως ἀνῆλθεν εἰς τὸ Ἱπποδρόμιον, κἀκεῖ στεφθεὶς προσεκυνήθη ὑπὸ τῶν συγκλητικῶν ὡς βασιλεύς, καὶ εὐφημήθη

1. τὴν] τῆς R, τῇ P. 5. παλάτιον P. 13. Post ἔτει addit ἔτη V, unde restitui ἐτέθη, quod ante ὄντος supplebat Raderus. 17. ἰανουαρίου P. 19. παλάτιον P, omisso καί.

bis Palatium illatum, postridie factis exequiis, in Aede Apostolorum conditum est. Anni a m. c.

Et IV. Hyperberetaei mensis, secundum Romanos Octobris mensis, Indictionis I. feria IV. coronata est puella Epiphania, quae et Eudocia appellata, in aede Sancti Stephani in Palatio. Et in curru sedens, stipantibus eam Philareto Cubiculario et Chartulario, et Syneto Castrensi, ut fieri solet, venit in Magnam Ecclesiam.

Hoc eodem anno, mense Apellaeo, secundum Romanos Decembri V. feria III. Priscus Comes Excubitorum Clericus est factus, et in locum ejus factus est Comes Excubitorum Nicetas Patricius.

Hoc anno supra Columnam ex variis lapidibus confectam, ad Orientem Ecclesiae Sanctorum XL. posita est veneranda crux, cum esset Praefectus Urbi Theodorus Ex-Notariis Basilicae.

613. III. Ind. I. Post Cons. Heraclii Augusti II. **1. 348.** **6121.**

Hoc anno, mense Audynaeo, secundum Romanos, Januarii die XXII. feria II. coronatus est puer Heraclius Novus Constantinus Imperator a patre suo in Palatio: moxque ascendit in Circum, ibique diademate redimitus, consalutatus est a Senatoribus ut Imperator, et faustis acclama-

ὑπὸ τῶν μερῶν, καὶ οὕτω σὺν τῷ πατρὶ αὐτοῦ ἐξῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν, βασταζόμενος ὑπὸ Φιλαρέτου.

Καὶ ἀπ' αὐτῆς τῆς κβ' τοῦ Ἰανουαρίου μηνὸς ἐπετράπη γράφεσθαι μετὰ τὸ ἐν ὀνόματι, βασιλείας τῶν θειοτάτων ἡμῶν P 385 *δεσποτῶν καὶ μεγίστων εὐεργετῶν Φλαβίου Ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους γ' καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους β' καὶ Φλαβίου Ἡρακλείου νέου Κωνσταντίνου τοῦ θεοφυλάκτου αὐτοῦ υἱοῦ ἔτους α', τῶν αἰωνίων Αὐγούστων καὶ αὐτοκρατόρων.*

Ἰνδ. β'. δ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ γ'.

Καὶ ἀπὸ κβ' τοῦ Ἰανουαρίου μηνὸς γράφεται, βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος β'.

Τούτῳ τῷ ἔτει περὶ μῆνα Ἰούνιον θρήνων ἀπαύστων ἄξιον ἡμῖν συνέβη πάθος. μετὰ γὰρ πολλῶν τῆς ἀνατολῆς πόλεων ἥλω B *καὶ Ἱερουσαλὴμ ὑπὸ Περσῶν, καὶ σφάζονται πολλαὶ χιλιάδες ἐν αὐτῇ κληρικῶν, μοναχῶν, μοναστριῶν παρθένων. ἐμπίπραται τὸ δεσποτικὸν μνῆμα καὶ οἱ περιβόητοι τοῦ θεοῦ ναοί, καὶ ἁπλῶς πάντα τὰ τίμια καθαιρεῖται. τὰ σεβάσμια τοῦ σταυροῦ ξύλα σὺν τοῖς ἱεροῖς σκεύεσιν ἀναριθμήτοις οὖσιν λαμβάνεται παρὰ Περσῶν, καὶ Ζαχαρίας ὁ πατριάρχης καὶ αἰχμάλωτος γί-*

12. ἔτους P. 16. αὐτῷ P. 20. ὁ om. P. ib. καὶ fortasse delendum.

Anni a m. c. tionibus a Factionibus exceptus. Atque ita cum patre egressus, ad Magnam Ecclesiam venit, a Philareto gestatus.

Et ab ipso die XXII. Januarii mensis imperatum est, uti scriberetur: *In nomine, etc. imperii piissimorum Dominorum nostrorum et beneficentissimorum Flavii Heraclii piissimi anno* III. *et post Consulatum illius anno* II. *et Flavii Heraclii Novi Constantini a Deo custoditi filii ejus* I. *aeternorum Augustorum et Imperatorum.*

A. C. [Ol. Iph.]

6122. 644. IV. Ind. II. Post Cons. Heraclii Augusti III. 1. 348.

Et a XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* II.

Hoc anno, circa mensem Junium, malum nobis accidit perpetuo luctu prosequendum. Cum aliis quippe compluribus Orientis civitatibus, Hierusalem a Persis capta est, multis Clericorum, Monachorum, Sanctimonialium et Virginum millibus trucidatis. Incensum etiam Dominicum Sepulchrum, et celeberrima Dei templa: et ut verbo dicam, pretiosa omnia destructa. Veneranda Crucis ligna, cum sacris vasis innumeris capiuntur a Persis, et Zacharias Patriarcha captivus abducitur. Atque haec

νεται. καὶ ταῦτα οὐκ ἐν πολλῷ χρόνῳ οὐδὲ ἐν ὅλῳ μηνί, ἀλλ' ἐν ἡμέραις ὀλίγαις συμβέβηκε.

Καὶ τῇ ιδ' γορπιαίου, κατὰ Ῥωμαίους σεπτεμβρίου μηνός, τῆς τρίτης ἰνδικτιῶνος, ἐν τῇ τρίτῃ ὑψώσει ἀποδεθεὶς τῷ ζωοποιῷ σταυρῷ ὁ τίμιος σπόγγος καὶ αὐτὸς συνυψοῦται αὐτῷ ἐν C τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, πεμφθεὶς παρὰ Νικήτα πατρικίου. V 307

Καὶ τῇ κη' τοῦ ὑπερβερεταίου, κατὰ Ῥωμαίους ὀκτωβρίου R 382 μηνός, ἡμέρᾳ ζ', τῇ ἐπὶ κυριακὴν νυκτί, ἠνέχθη ἡ τιμία λόγχη ἀπὸ τῶν ἁγίων τόπων, ἑνὸς τῶν ἐγγιζόντων τῷ καταράτῳ Σαλβάρᾳ μετὰ τὸ ληφθῆναι αὐτὴν παρ' αὐτῶν, δεδωκότος αὐτὴν τῷ μνημονευθέντι Νικήτᾳ. καὶ εὐθέως αὐτῇ τῇ κυριακῇ ἐκηρύχθη ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὡς ἠνέχθη· καὶ τῇ τρίτῃ καὶ τετράδι προσεκυνήθη ὑπὸ ἀνδρῶν, πέμπτῃ δὲ καὶ παρασκευῇ ὑπὸ γυναικῶν.

Ἰνδ. γ'. ε'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ δ'. D

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος γ'.

Τούτῳ τῷ ἔτει ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως ἀπὸ τῆς α' ἑβδομάδος τῶν νηστειῶν ἰνδικτιῶνος δ' ἤρξατο ψάλλεσθαι μετὰ τὸ Κατευθυνθήτω ἐν τῷ καιρῷ τοῦ εἰσάγεσθαι τὰ προηγιασμένα δῶρα εἰς τὸ θυσιαστήριον ἀπὸ τοῦ σκευοφυλα-

3. Γορπιαίου μηνὸς P. 4. ἀποδεχθεὶς R. 5. σπόγγος V correctus. 9. Σάρβαρα P. 13. τετάρτῃ P. 16. καὶ ἀπὸ] ἀπὸ P. 17. ἔτους P. 19. νηστῶν R.

omnia non multa anni parte, nec toto mense, sed intra paucos dies contigere.

Et XIV. Gorpiaei mensis, secundum Romanos Septembris mensis Indictionis III. in tertia Exaltatione vivificae Cruci alligata veneranda Spongia, et ipsa coexaltatur in sanctissima Magna Ecclesia, missa a Niceta Patricio.

Et XXVIII. Hyperberetaei, secundum Romanos Octobris mensis, feria VII. ea nocte quae praecedit Dominicam, veneranda Lancea e sacris locis allata est, quam quidam familiaris abominandi Sarbarae, cum ab iis fuisset ablata, dedit memorato Nicetae: et statim eo ipso die Dominico in sanctissima Magna Ecclesia publicatum ac nuntiatum eam esse allatam; ac tertia deinde et quarta feria a viris, quinta autem et sexta a feminis est adorata.

645. V. Ind. III. Post Cons. Heraclii Augusti IV. 2.

Ab ipso XXII. mensis Januarii die, scribitur: *Imperii Heraclii Novi Constantini anno* III.

Hoc anno, sub Sergio Patriarcha Constantinopolitano, a prima Jejuniorum hebdomade Indictionis IV. coepit psalli post illud: *Dirigatur*, quando Praesanctificata Dona in altare ex Scevophylacio inferuntur,

κίου μετὰ τὸ εἰπεῖν τὸν ἱερέα, Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, εὐθέως ἄρχεται ὁ λαός, Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν
P 386 *ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰςπορεύεται ὁ βασιλεὺς τῆς δόξης. ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. πίστει καὶ φόβῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. ἀλληλούια. τοῦτο δὲ οὐ μόνον ἐν ταῖς νηστείαις προηγιασμένων εἰσαγομένων ψάλλεται, ἀλλὰ καὶ ἐν ἄλλαις ἡμέραις, ὁσάκις ἂν προηγιασμένα γίνηται.*

Τούτῳ τῷ ἔτει γέγονεν ἀπὸ νόμου νόμισμα ἑξάγραμμον ἀργυροῦν, καὶ βασιλικαὶ ῥόγαι δι' αὐτοῦ γεγόνασι καὶ κατὰ τὸ ἥμισυ τῆς ἀρχαιότητος. καὶ ἔξαρχος τοῦ Πέρσου, καλούμενος
B *Σαήν, ἕως αὐτῆς Χαλκηδόνος ἦλθεν καὶ ἐπὶ τὰ μέρη Χρυσοπόλεως καὶ τοῦ Κηκωνίου καὶ εἰς τὴν ἀντιπέρας ἐβλέπετο. καὶ λαβὼν δῶρα παρὰ τοῦ βασιλέως Ἡρακλείου δι' ἑαυτοῦ ἐν πλοίοις ἐγγίσαντος τῷ λιμένι Χαλκηδόνος ἀνεχώρησεν, ἐπαγγειλάμενος ὅτι ἐὰν πεμφθῶσιν ἐξ ἡμῶν εἰς πρεσβείαν πρὸς Χοσδρόην τινές, εἰρήνη γίνεται. καὶ δὴ ἐπέμφθησαν ἐξ ἡμῶν πρεσβευταὶ τρεῖς, τουτέστιν Ὀλύμπιος ἔπαρχος πραιτωρίων καὶ Λεόντιος ἔπαρ-*
R 884 *χος πόλεως καὶ Ἀναστάσιος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπιφερόμενοι καὶ ἀποκρίσεις γραφείσας ἀπὸ τῶν ἀρχόντων ἡμῶν πρὸς τὸν θεόπτωτον Χοσρόην, ὧντινων ἡ δύναμίς ἐστιν αὕτη.*

4. *δωροφορεῖται* R. 5. *ἀλλαιλούια* V. 7. *εἰσαγομένων* om. P. ib. *ἂν* om. R, uncis includit P. 8. *γίνεται* PV. 12. *Χρυσουπόλεως* P. 13. *Μηκωνίου* P. 14. *αὐτοῦ* P. 16. *Χοσρόην* P. 17. *καὶ διεπέμφθησαν* P.

postquam dixit Pontifex, *juxta donum Christi tui*, statim incipit populus: *Nunc virtutes coelorum nobiscum invisibiliter adorant: Ecce ingreditur Rex gloriae. Ecce sacrificium mysticum perfectum solenni pompa affertur, in fide et tremore accedamus, ut participes efficiamur vitae aeternae. Alleluia.* Hoc non solum in Jejuniis Praesanctificatorum canitur, sed et aliis praeterea diebus, quotiescunque Praesanctificata fiunt.

Hoc anno, lege lata, numus argenteus sex scripulorum cusus est, quo numi genere factae sunt largitiones Imperatoriae, ipseque ad semissem veterum numorum. Persarum vero Regis Exarchus, Saen vocatus, ad ipsam usque Chalcedonem, et in fines Chrysopoleos et Meconii venit, cum in opposita civitati regione a populo conspiceretur. Donis vero ac muneribus acceptis ab Imperatore Heraclio, hac de causa navigio Chalcedonensi portui appropinquante, recessit: pollicitus, si aliqui ex nostris ad Chosroem legati mitterentur, pacem futuram. Missique e nostris legati tres, Olympius scilicet Praefectus Praetorio, Leontius Praefectus Urbi, et Anastasius sanctissimae Magnae Ecclesiae Constantinopolitanae Presbyter, literas a Principibus nostris scriptas ad Deo invisum Chosroem deferentes, in hanc ferme sententiam.

Ὁ τὰ πάντα δημιουργήσας καὶ τῇ ἰδίᾳ δυνάμει συνέχων C Θεὸς δῶρον ἄξιον τῆς αὐτοῦ ἀγαθότητος τῷ γένει τῶν ἀνθρώπων ἐφιλοτιμήσατο τῆς βασιλείας τὴν πρόνοιαν, δι' ἧς ἀταράχως ἀξιούμεθα ζῆν ἢ δυσχερείαις τισὶ περιπίπτοντες ἴασιν ἐξευρίσκομεν. πρὸς τοῦτο τὸ θεϊκὸν ἀποβλέψαντες, τὴν βασιλικὴν πρόνοιάν φαμεν, καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ὑπέρογκον ὑμῶν ἡμερότητα, δυσωποῦμεν συγγνώμης ἡμᾶς ἀξιῶσαι, τολμήσαντας παρὰ τὴν πρώην πολιτευομένην κατάστασιν τῇ παρούσῃ πρὸς τὸ ὑμέτερον κράτος ἀναφορᾷ χρήσασθαι. ἴσμεν γὰρ τὴν ἐν τῷ προλαβόντι χρόνῳ κρατήσασαν συνήθειαν, ἥτις ἠβούλετο D φιλονεικίας τινὸς μεταξὺ τῶν δύο πολιτειῶν ἀνακυπτούσης τοὺς V 308 ἑκατέρας αὐτῶν βασιλεύοντας διὰ τῶν πρὸς ἀλλήλους δηλωμάτων τὰ φιλονεικούμενα διαλύειν. ἀλλὰ ταύτην τὴν τάξιν παρέλυσε Φωκᾶς ὁ τῆς Ῥωμαϊκῆς πολιτείας γενόμενος ἐπίβουλος. τὸν γὰρ ἐν Θρᾴκῃ Ῥωμαϊκὸν ὑποφθείρας στρατὸν αἰφνιδίως ἐπέστη τῇ παρ' ἡμῖν βασιλευούσῃ πόλει, καὶ Μαυρίκιον τὸν εὐσεβῶς ἡμῶν βασιλεύσαντα καὶ τὴν αὐτοῦ γυναῖκα, ἔτι δὲ καὶ τέκνα καὶ συγγενεῖς καὶ ἐκ τῶν ἀρχόντων οὐκ ὀλίγους ἀνεῖλεν. καὶ οὐκ ἠρκέσθη τοῖς πεπραγμένοις παρ' αὐτοῦ τοσούτοις κακοῖς, ἀλλ' οὐδὲ τὴν πρέπουσαν τῇ ὑπερόγκῳ ὑμῶν ἡμερότητι τιμὴν ἀπένειμεν, ὥστε P 387 λοιπὸν ἐξ ἡμετέρων ἁμαρτιῶν ὁρμηθέντας ὑμᾶς εἰς τὴν τοσαύτην ἐλάττωσιν ἀγαγεῖν τὰ τῆς Ῥωμαϊκῆς πολιτείας πράγματα. ἐγνω-

9. ἴσμεν μὲν γὰρ R. 11. τινὰς PV. ib. ἀνακυπτούσας P. 14. γενόμενος om. P. 15. ὑποφθείρει P. 21. ὁρμηθέντα P. 22. τὰ om. R, uncis inclusit P.

„Qui omnia creavit, et sua potentia continet, Deus, sua bonitate dignum munus humano generi contulit, imperii scilicet providentiam, qua vitae securitas, et si in aliquas difficultates incidere nos contigerit, medela nobis procuratur. Ad hoc divinum munus, Regiam scilicet providentiam, respectantes, prae cunctis omnibus immensam vestram Clementiam deprecamur, uti veniam nobis dignetur impertiri, si praeter prioris Reipublicae status rationem hac suggestione ergà vestram Majestatem utamur. Neque enim ignoramus, praeteritis temporibus eam obtinuisse consuetudinem, ut inter utramque Rempublicam enatae controversiae, ab utriusque Principibus, mutuis invicem factis collationibus, dirimerentur: quam quidem infregit Romani imperii insidiator Focas. Corrupto enim in Thracia Romano exercitu, Reginam hanc nostram urbem adortus, et Mauricium nobis pie imperantem, ac illius conjugem, liberosque et cognatos, et ex Magistratibus haud paucos sustulit. Nec satis illi fuit tanta perpetrasse facinora, immensae quoque vestrae Clementiae debitum honorem minime exhibuit. Unde accidit, ut propter peccata nostra a vobis impeteremur, resque Romanorum ad hanc imminutionem et debili-

κῶς δὲ τὰ παρὰ τοῦ λυμεῶνος ἐκείνου γενόμενα ὁ νῦν εὐσεβῶς
ἡμῶν βασιλεύων καὶ ὁ αὐτοῦ ἀείμνηστος πατήρ, ἐβουλεύσαντο
τῆς τοσαύτης ἐκείνου ἀνάγκης ἐλευθερῶσαι τὴν Ῥωμαϊκὴν πολι-
τείαν· ὅπερ καὶ ἔπραξαν, τεταπεινωμένην ἐκείνην ἐκ τοῦ ὑμε-
τέρου κράτους εὑρόντες. καὶ μετὰ τὸν τοῦ τυράννου θάνατον
βουληθέντος τοῦ ἡμῶν βασιλέως τοὺς ἰδίους λαβεῖν συγγενεῖς
καὶ πρὸς τὸν οἰκεῖον ἐν Ἀφρικῇ ἐπαναζεῦξαι πατέρα, προτρέ-
B ψαντός τε ἡμᾶς ὃν θέλομεν ἐπιλέξασθαι βασιλέα, μόλις ταῖς
R 886 αἰτήσεσιν ἡμῶν πεισθεὶς κατεδέξατο τὴν βασιλείαν, καὶ διὰ τὴν
κρατοῦσαν ἐν ταῖς δύο πολιτείαις ταραχήν, ἔτι δὲ καὶ τὴν ἐμφύ-
λιον στάσιν, οὐκ ἔσχε καιρόν, ὅπερ ἐχρῆν πραχθῆναι, τοῦ διὰ
πρεσβείας τὴν ὀφειλομένην τιμὴν τῷ ὑπερόγκῳ κράτει τῆς ὑμε-
τέρας γαλήνης προσαγαγεῖν. ἐβουλευσάμεθα οὖν παριδεῖν τὸ
ἔθος, οὗπερ ἀνωτέρω ἐμνήσθημεν, καὶ βραχεῖς ὄντες ἄνθρωποι
πρὸς ἀρχιβασιλέα τηλικοῦτον τῇ δεήσει χρήσασθαι, στέλλοντες
καί τινας ἐξ ἡμῶν ὀφείλοντας τῶν ὑμετέρων ἰχνῶν ἀξιωθῆναι.
ἀλλὰ διὰ τὰ ἐν μέσῳ συμβάντα τοῦτο πρᾶξαι μέχρι νῦν οὐκ ἐτολ-
C μήσαμεν· ὅτε μέντοι Σαὴν ὁ ἐνδοξότατος Βαβμανζαδαγώ, τοῦ
Περσικοῦ στρατοῦ ἔξαρχος, ἐν τοῖς μέρεσι Χαλκηδόνος γέγονε,
καὶ συντυχὼν τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ καὶ ἡμῖν, καὶ ἐκ
πάντων αἰτηθεὶς τὰ περὶ τῆς εἰρήνης διαλεχθῆναι, αὐτὸς μὲν
εἶπεν μὴ ἔχειν τοιαύτην ἐξουσίαν, δέεσθαι δὲ τὰ περὶ τούτου τῆς

10. δὲ om. P. 18. ὅτι P. 21. αὐτὸν R. 22. τὰ om. R.

tationem devenirent. Cum ergo intelligeret is qui nunc pie imperat, quae a peste illa patrata essent, unaque et aeternae memoriae illius pater, decreverunt Romanum imperium ex tantis illius angustiis in libertatem asserere: quod et confecere, quamvis a vestra Majestate non modice labefactatum invenirent. Post mortem ergo tyranni, cum Imperator noster, affinibus secum assumptis, in Africam ad patrem suum reverti statueret, moneretque nos, ut quem vellemus Imperatorem designaremus, aegre precibus nostris cedens, imperium tandem suscepit. At propter utriusque Reipublicae perturbationem, civilesque motus, locus ipsi haud fuit per legatos, uti par erat, id praestandi, quo debitum honorem amplissimae Majestatis vestrae Serenitati exhiberet. Statueramus igitur, omisso more cujus meminimus, nos pusilli homines, erga potentissimum Regem precibus uti, et aliquos ex nobis mittere qui ad vestigia vestra admitterentur. Sed ex iis quae subinde evenere, id ad hunc usque diem exequi ausi non sumus. At cum Saen illustrissimus Babmanzadago, Persicarum copiarum dux supremus ad fines Chalcedonis accessisset, cum piissimo nostro Imperatore nobisque collocutus, rogatus est ab omnibus ut de pace tractaret. Qui respondit, sibi quidem ejusmodi minime indultam esse facultatem: deprecaturum tamen super hoc Clementiam ve-

ὑμῶν φιλανθρωπίας. νυνὶ δὲ καὶ ἀπόκρισιν ἔστειλε πρὸς ἡμᾶς
διὰ τοῦ Σπαδαδουάρ, ὑποσχόμενος ἐνωμότως ὅτι τὸ ὑπέρογκον
ὑμῶν κράτος τοὺς στελλομένους παρ' ἡμῶν ὡς πρέπον ἐστὶν δέ-
χεται καὶ ὑπολύει ἀβλαβεῖς πρὸς ἡμᾶς ἐπαναλῦσαι, καὶ ὅτι παρὰ
τῆς ὑμετέρας φιλανθρωπίας τοῦτο πρᾶξαι ἐκελεύσθη. ἡμεῖς δὲ D
πάλιν τοῖς οὕτω παρακολουθήσασι θαῤῥήσαντες, πρὸ πάντων
δὲ τῷ θεῷ καὶ τῇ ὑμετέρᾳ μεγαλειότητι, τοὺς δούλους ὑμῶν
ἀπελύσαμεν Ὀλύμπιον τὸν ἐνδοξότατον ἀπὸ ὑπάτων, πατρίκιον
καὶ ἔπαρχον τῶν πραιτωρίων, καὶ Λεόντιον τὸν ἐνδοξότατον ἀπὸ
ὑπάτων, πατρίκιον καὶ ἔπαρχον πόλεως καὶ Ἀναστάσιον τὸν
θεοφιλέστατον πρεσβύτερον καὶ σύγκελλον, οὓς δυσωποῦμεν ὡς
πρέπει τῷ ὑπερόγκῳ ὑμῶν κράτει δεχθῆναι καὶ συντόμως ἐπανα-
λῦσαι πρὸς ἡμᾶς τὴν ἀρέσκουσαν τῷ θεῷ εἰρήνην καὶ πρέπουσαν
τῷ φιλειρήνῳ ὑμῶν κράτει ἀποσώζοντας ἡμῖν. δεόμεθα δὲ τῆς P 338
ὑμετέρας ἡμερότητος καὶ Ἡράκλειον τὸν εὐσεβέστατον ἡμῶν βα-
σιλέα γνήσιον ἔχειν τέκνον, προθύμως ἔχοντα ἐν ἅπασι τὴν θε-
ραπείαν τῆς ὑμετέρας ποιεῖν γαλήνης. ταῦτα γὰρ πράττοντες δι- V 309
πλῆν ἑαυτοῖς περιποιεῖτε δόξαν, καὶ ἐπὶ τῇ τῶν πολέμων ἀνδρα-
γαθίᾳ καὶ ἐπὶ τῇ δωρεᾷ τῆς εἰρήνης. καὶ ἡμεῖς λοιπὸν τῆς ἡσυ-
χίας διὰ τῶν ὑμετέρων ἀειμνημονεύτων δωρεῶν ἐν ἀπολαύσει γι-
νόμεθα, καιρὸν λαμβάνοντες τὰς ὑπὲρ τῆς ὑμετέρας πολυχρο- R 388
νίου εὐζωίας τῷ θεῷ προσαγαγεῖν εὐχάς, ἀληθάργητον εἰς αἰῶ-
νας τῆς Ῥωμαϊκῆς πολιτείας τὴν ὑμετέραν εὐεργεσίαν ἔχοντες.

5. ἡμᾶς — θαῤῥήσαντας RV. 11. σύγγελλον P. 17. τοῦτο P.

stram. Nunc vero et responsum misit nobis per Spadadovarem, cum sacramento pollicitus, amplissimam vestram Majestatem, eos pro dignitate suscepturam qui a nobis mitterentur, et salvos ac incolumes ad nos remissuram, idque a Clementia vestra ut faceret sibi esse imperatum. Nos itaque hisce confisi promissis, praesertim autem Deo, et vestra Amplitudine, servos vestros misimus gloriosissimum Olympium Ex-Consule, Patricium et Praefectum Praetorio, et gloriosissimum Leontium Ex-Consule, Patricium et Praefectum Urbi, ac venerabilem Anastasium Presbyterum et Syncellum, quos ut amplissima Majestas vestra, prout par est, excipiat, flagitamus, et uti quamprimum fieri poterit, cum grata Deo pace, et quae pacificam Majestatem vestram decet, salvos nobis remittatis. Obsecramus etiam Mansuetudinem vestram ut Heraclium piissimum nostrum Imperatorem loco proprii filii habeat, paratum in omnibus Serenitati vestrae cultum et officium praestare. Quod quidem si feceritis, geminam vobis gloriam comparabitis, cum ex fortitudine bellica, tum ex pacis concessione. Nos porro deinceps per nunquam oblivisceada vestra munera fruemur quiete, nobisque suppetet occasio pro vestrae vitae diuturnitate Deo preces offerendi, quandiu stabit Romana Respublica vestrum beneficium nunquam oblivioni daturia."

B τμθ' Ὀλυμπιάς.

Ἰνδ. δ'. ϛ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ε'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος δ'.

Ἀπὸ τῆς γεννήσεως τοῦ δεσπότου Χριστοῦ ἕως ταύτης τῆς ὑπατείας ἐπληρώθησαν ἔτη χιθ' καὶ ἤρξαντο τὰ χκ'. ἐκ τούτων ἐξαιροῦνται τὰ μέχρι τῆς σταυρώσεως αὐτοῦ ἔτη λγ', καὶ καταλείπονται φπϛ'. πρὸ φ' τοίνυν πϛ' ἐνιαυτῶν εἰσῆλθεν ὁ μάρτιος
C μὴν ἐν ἡμέρᾳ ε'· τοῖς γὰρ φπϛ' πρόσθες τὰ βίσεξτα, τοῦτο ἔστιν ρμζ'. διὰ τὸ νῦν ἐπικεῖσθαι βίσεξτον γίνονται ψλγ'. ἔκβα τούτων τὸ ζ' ρδ', λοιπὸν ε'. ἀρίθμησον ε' ἀπὸ τῆς ε' ἡμέρας, καὶ καταλήγεις εἰς δευτέραν, ὃ καὶ ἔστιν· ὁ γὰρ μάρτιος τῆς ἐνεστώσης δ' ἰνδικτιῶνος εἰσέρχεται ἐν δευτέρᾳ τῆς ἑβδομάδος ἡμέρᾳ.

Πάλιν τὰς τῆς ἐννεακαιδεκαετηρίδος ζητοῦντες ἐπινεμήσεις εὑρίσκομεν προ φπϛ' ἐνιαυτῶν, τουτέστιν λ' κύκλων, ια' οὖσαν ἰνδικτιῶνα· ια' γὰρ ἐπὶ ια' συνάγει φοα'. λοιπὸν ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', α', β', γ', δ', ε', ϛ', ζ'. αὕτη γὰρ νῦν ἐνέστηκεν. ψηφίζοντες οὖν πρὸ φπϛ' ἐτῶν τὴν σελή-
D νην εὑρίσκομεν αὐτὴν τῇ κγ' τοῦ μαρτίου μηνὸς ἐκείνου, ἥτις ἦν ἐν ἡμέρᾳ παρασκευῇ, ἔχουσαν ιδ', ε', ὡς εἶναι τὸ πάσχα

4. ἔτους P. 6. 7. ἔτη om. P. 10. διὰ τοίνυν R. ib. ἔκβαλε P.
15. ιθ' ετηρίδος P.

A. C. [Ol. Iph.]

CCCXLIX. Olympias.

6124. 616. vi. Ind. iv. Ind. Post Cons. Heraclii Augusti V. 4.

Et ab ipso xxii. die mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* iv.

A Christi Domini nativitate, usque ad hunc Consulatum, exacti sunt anni DCXIX. et coepit annus DCXX. Ex his usque ad ejus Passionem subtractis annis XXXIII. restant anni DLXXXVI. Ergo ante DLXXXVI. annos, mensis Martius feria v. incoepit. Nam DLXXXVI. annis adde Bissextiles, hoc est CXLVII. quia modo Bissextus instat, his additis, fient DCCXXXIII. Abjice ex his septies CIV. reliquum erit v. Numera v. a v. feria, et desines in feria II. quod ita est. Martius enim inchoante IV. Indictione, incipit hebdomadis feria II.

Rursum si XIX. annorum Cycli Indictiones quaeramus, inveniemus ante DLXXXVI. annos, hoc est XXX. Cyclos, XI. esse Indictionem. XI. enim ad XI. colligunt DLXXI. Relinquuntur enim XV. nempe XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. I. II. III. IV. V. VI. VII. Haec enim nunc est. Numerantes igitur ante DLXXXVI. annos lunam, reperimus illam XXIII. die Martii illius quae erat in die Parasceves, esse XIV. ut esset Pascha Ju-

τῶν Ἰουδαίων, ὅτε ὁ κύριος ἐσταυρώθη, ἀπὸ ἑσπέρας τῆς παρασκευῆς. ἀνέστη δὲ κύριος τῇ ἐφεξῆς κυριακῇ, ἥτις ἦν κε' τοῦ αὐτοῦ μαρτίου μηνός. συνᾴδει δὲ ταῦτα καὶ τὰ προταττόμενα παρὰ τῶν ἀξιολόγων ἀνδρῶν ἐν τῇ τῶν φωστήρων ψηφοφορίᾳ.

Ἰνδ. ε'. ζ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ϛ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς P 389 R 890
βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ε'.

Ἰνδ. ϛ'. η'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ζ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ϛ'.

Τούτῳ τῷ ἔτει ἀπῃτήθησαν οἱ κτήτορες τῶν πολιτικῶν ἄρτων διὰ διαγραφῶν καθ' ἕκαστον ἄρτον νομίσματα γ'. καὶ μετὰ τὸ παρασχεῖν πάντας εὐθέως τῷ αὐγούστῳ μηνὶ αὐτῆς τῆς ϛ' ἰνδικτιῶνος ἀνῃρτήθη τελείως ἡ χορηγία τῶν αὐτῶν πολιτικῶν B
ἄρτων.

Ἰνδ. ζ'. θ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ η'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, V 310
τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ζ'.

τν' Ὀλυμπιάς.

Ἰνδ. η'. ι'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ θ'.

3. πρατττόμενα P. 6. κβ'] κα' V. 7. 10. 18. ἔτους P. 12. γραφῶν R.

daeorum, cum Dominus passus est, a vespera Parasceves. Resurrexit Dominus deinde Dominica die, quae in XXII. incidit ejusdem Martii. Concinunt autem quae a magnis viris acta sunt in luminarium supputatione.

A. C. [Ol. Iph.]

617. VII. Ind. V. Post Cons. Heraclii Augusti VI. 1. 344.

Et ab ipso die XXII. Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* V.

618. VIII. Ind. VI. Post Cons. Heraclii Augusti VII. 2.

Et ab ipso XXII. die Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VI.

Hoc anno, possessoribus, seu civibus, qui jure panum civilium gaudebant, exacta sunt vice indictionis, in singulos panes tria numismata: et postquam omnes ea dedere, statim mense Augusto ejusdem Indictionis VI. universae panum civilium largitiones sublatae sunt.

619. IX. Ind. VII. Post Cons. Heraclii Augusti VIII. 3.

Et ab ipso die XXII. ejusdem mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VII.

CCCL. Olympias.

620. X. Ind. VIII. Cons. Heraclii Augusti IX. 4.

Καὶ ἀπὸ κβ΄ καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος η΄.

Ἰνδ. θ΄. ια΄. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ι΄.

Καὶ ἀπὸ κβ΄ καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος θ΄.

P 390 Ἰνδ. ι΄. ιβ΄. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ια΄.

B Καὶ ἀπὸ κβ΄ καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ι΄.

V 811 Ἰνδ. ια΄. ιγ΄. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιβ΄.

Καὶ ἀπὸ κβ΄ καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ια΄.

P 391 Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους Ἰουνίου ι΄, ἡμέρᾳ πρώτῃ, ὄντος τοῦ βασιλέως Ἡρακλείου εἰς τὰ Θρᾴκια μέρη μετά τινων ἀρχόντων καί τινων οὐ μόνον κτητόρων καὶ κλη- C ρικῶν, ἀλλὰ γὰρ καὶ ἐργαστηριακῶν καὶ δημοτῶν ἐξ ἑκατέρου μέρους καὶ πλήθους ἄλλου οὐκ ὀλίγου, πλησιάσαντος τῷ μακρῷ τείχει τοῦ Χαγάνου τῶν Ἀβάρων μετὰ πλήθους ἀπείρου, μελλούσης, ὡς καθὼς ἐφημίσθη, μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων εἰρήνης γίνεσθαι, καὶ μέλλοντος ἱππικοῦ ἐν Ἡρακλείᾳ ἄγεσθαι, τῇ φήμῃ ταύτῃ συναπαχθὲν πλῆθος ἄπειρον ἐξῆλθεν ἐκ τῆς πανευδαίμονος, καὶ περὶ ὥραν δ΄ τῆς κυριακῆς αὐτῆς ὁ Χαγάνος

2. νέου om. R. 8. μετὰ — 9. ιγ΄ om. R. 6. ἔτος] τὸ P. 8. ἔτους P. 10. καὶ] τῆς R. 19. εἰρήνην P, εἰρήνης V, m. R. 20. συναχθὲν P.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* VIII.

621. XI. Ind. IX. Post Cons. Heraclii Augusti X. 1. 350.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* IX.

622. XII. Ind. X. Post Cons. Heraclii Augusti XI. 2.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* X.

623. XIII. Ind. XI. Post Cons. Heraclii Augusti XII. 3.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Desio, secundum Romanos Junii V. feria I. cum Imperator Heraclius in Thraciae partibus versaretur una cum Proceribus et civibus, atque Clericis, atque adeo cum opificibus, plurimis etiam ex utraque Factione, ac plebe, Avarum Chagano ad Longum Murum cum innumera multitudine etiam accedente, quod, ut rumor increbuerat, Romanos inter ac Avares pax esset conficienda, tum etiam quod Heracleae Ludi Circenses celebrandi essent, hac fama excita multitudo infinita, ex Felice Urbe egressa est. Et circa horam IV. ipsius Dominicae, Avarum

τῶν Ἀβάρων τῷ φραγελλίῳ αὐτοῦ ἔνευσεν, καὶ πάντες οἱ σὺν
αὐτῷ ὁρμήσαντες εἰσῆλθαν τὸ μακρὸν τεῖχος, ἐκείνου μείναντος
ἔξωθεν τοῦ τείχους μετά τινων τῶν αὐτοῦ, καὶ ὡς καθὼς εἶπεν
ὅτι καὶ τὸ τεῖχος εἰσήρχετο καὶ τὴν πόλιν παρελάμβανεν, εἰ μὴ D
ὅτι ὁ θεὸς αὐτὸν ἐκώλυσεν. πλὴν οἱ αὐτοῦ εἰσελθόντες αὐτῇ τῇ
κυριακῇ ἀπὸ ἑσπέρας ἕως τῆς Χρυσῆς πόρτας πάντας ἐπραίδευ- R 892
σαν οὓς ηὗρον ἔξω τῆς πόλεως μετὰ καὶ τῶν ἐν τοῖς προαστείοις
ὅπως οὖν εὑρεθέντων ἀνθρώπων τε καὶ ἀλόγων παντοδαπῶν.
εἰσῆλθαν δὲ καὶ εἰς τοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐν Βλα-
χέρναις, καὶ εἰς τὸν Ἀρχάγγελον πέραν εἰς τὰ Προμώτου, καὶ
οὐ μόνον ὅτι τὰ κιβούρια καὶ ἄλλα κειμήλια ἀφείλαντο, ἀλλὰ
καὶ αὐτὴν τὴν ἁγίαν τράπεζαν τῆς ἐκκλησίας τοῦ Ἀρχαγγέλου κα-
τέκλασαν, καὶ πάντας μετὰ τῶν ἀφαιρεθέντων αὐτῶν μετῴκι- P 890
σαν πέραν τοῦ Δανουβίου, μηδενὸς ἀντιστατοῦντος.

τνα' Ὀλυμπιάς. P 891

Ἰνδ. ιβ'. ιδ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιγ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιβ'.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ε' καὶ κ' τοῦ μηνός, τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς δεσποίνης

1. φραγγελίῳ P. 2. εἰσῆλθον P. 6. ἑσπέραν V. 9. εἰσῆλθον P. ib. καὶ om. P. 11. κιβώρια P. ib. ἀφείλοντο P. 13. μετῴκησαν PV. 19. σύστρῳ R.

Chaganus flagello suo signum dedit, statimque omnes qui cum illo erant Anni a m. c.
Longum Murum impetu facto ingressi sunt, ipso extra Murum cum aliquot familiaribus manente, cum, ut dixisse fertur, simul atque Murum ingressus esset, urbem se facile occupaturum sibi persuaderet: quod sane accidisset, nisi illum probibuisset Deus. Illius tamen copiae ipsa Dominica, ingressae circa vesperam usque ad Auream portam, quotquot extra urbem repererunt, vel in suburbanis, et quidquid hominum vel animalium inventum fuit, in praedam rapuere. Ingressi sunt etiam sacram aedem Sanctorum Cosmae et Damiani in Blachernis: et Ecclesiam Sancti Archangeli trans urbem in Promoti Suburbano: in iisque non Ciboria duntaxat, et alia cimelia abstulerunt, sed ipsam etiam sacram Mensam Ecclesiae Archangeli confregerunt, omnesque cum praeda captivos secum trans Danubium, obsistente nemine, abduxerunt.

A. C. [Ol. Iph.]

CCCLI. Olympias.

624. XIV. Ind. XII. Post Cons. Heraclii Augusti XIII. 3. 6132.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Novi Constantini anno* XI.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, quinto et vicesimo mensis die festo Annuntiationis Dominae nostrae Dei Genitricis,

ἡμῶν τῆς θεοτόκου, ἐξῆλθεν ἐπὶ τὰ ἀνατολικὰ μέρη ὁ βασιλεὺς Ἡράκλειος ἅμα τοῖς αὐτοῦ τέκνοις Ἡρακλείῳ καὶ Ἐπιφανίᾳ τῇ καὶ Εὐδοκίᾳ καὶ τῇ βασιλίσσῃ Μαρτίνᾳ, καὶ ἐποίησεν σὺν αὐτοῖς τὴν πασχαλίαν ἑορτὴν πλησίον τῆς πόλεως Νικομηδείας. C καὶ μετὰ τὴν ἑορτὴν αὐτὸς μὲν ὁ βασιλεὺς Ἡράκλειος μετὰ Μαρτίνης τῆς βασιλίσσης ὥρμησαν ἐπὶ τὰ ἀνατολικὰ μέρη, συνόντος αὐτοῖς καὶ Ἀνιανοῦ δομεστίκου τοῦ μαγίστρου. τὰ δὲ τέκνα αὐτοῦ ὑπέστρεψαν ἐν Κωνσταντινουπόλει.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, τῆς D ιβ′ ἰνδικτιῶνος, ἐπὶ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως, ἐπενοήθη ψάλλεσθαι μετὰ τὸ μεταλαβεῖν πάντας τῶν ἁγίων μυστηρίων ἐν τῷ μέλλειν τοὺς κληρικοὺς ἐπὶ τὸ σκευοφυλάκιον ἀποκαθιστᾶν τὰ τίμια ῥιπίδια, δισκάρια καὶ ποτήρια καὶ ἄλλα ἱερὰ σκεύη, μετὰ τὸ ἐκ τῶν παρατραπεζίων καὶ τὴν διάδοσιν ἀποτεθῆναι πάντα εἰς τὴν ἁγίαν τράπεζαν, καὶ ψαλθῆναι τὸν τελευταῖον στίχον τοῦ κοινωνικοῦ, λέγεσθαι καὶ τοῦτο το τροπάριν, Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως, κύριε, ὅπως ἂν ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων. τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. ἀλληλούια.

R 894 P 391 Ἰνδ. ιγ′. ιε′. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιδ′.

2. Ἡρακλεῖ V. ib. τῇ καὶ] τῇ R. 5. ὁ om. R. 6. ὥρμησεν P sola. 7. μεγίστου P. 12. ἀποκαθιστάναι P. 16. λέγεται R. ib. τροπάριον P. 17. ὅπως ἀνυμνήσωμεν P. 18. ἡμᾶς om. R. 20. ἀλλελούια V.

profectus in Orientales partes Imperator Heraclius cum liberis suis Heraclio, Epiphania quae et Eudocia dicta, et Imperatrice Martina, Paschales ferias juxta urbem Nicomediam peregit. Iisque exactis, idem Imperator Heraclius cum Martina Imperatrice in Orientis regiones perrexit, habens in comitatu Anianum Domesticum maximum. Liberi vero illius Constantinopolim reversi sunt.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, XII. Indict. sub Sergio Patriarcha Constantinopolitano tum primum inductum est, ut postquam omnes sacra mysteria perceperunt, cum Clerici relaturi sunt in Scevophylacium pretiosa Muscaria, Discos et Calices, atque alia sacra vasa, et post datam fidelibus ex appositis mensis Communionem, omnia in sacram Mensam referuntur, post exactum denique ultimum versum Communionis, caneretur haec Antiphona: *Impleatur os nostrum laude, Domine, ut celebremus gloriam tuam, quia nos sanctis tuis mysteriis dignatus es. Serva nos in sanctificatione, toto die meditantes justitiam tuam. Alleluia.*

625. XV. Ind. XIII. Post Cons. Heraclii Augusti XIV. 4.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιγ'.

Ἰνδ. ιδ'. ις'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου ἔτος ιε'. B

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιδ'.

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ, ἐφάνη ἐπὶ δ' ἡμέρας ἀστὴρ φαιδρὸς πάνυ κατὰ δυσμὰς μετὰ δύσιν ἡλίου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, ιδ', ἡμέρᾳ δ', αὐτῇ τῇ ἁγίᾳ μεσοπεντηκοστῇ, συνήχθησαν αἱ σχολαὶ καὶ ἄλλοι πολλοὶ τοῦ πλήθους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ κατέκραξαν Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ, ὡς θελήσαν- C
τος ἐπᾶραι τὰ ψώμια τῶν σχολῶν εἰς ὄνομα τῶν στρατιωτῶν· καὶ τοῦ πατριάρχου Σεργίου ὑποσχομένου ἀποθεραπεύειν τὸν ὄχλον, εἰ μόνον ἐνδώσωσι γενέσθαι τὴν θείαν λειτουργίαν.

Τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς πάλιν πλειόνων εὑρεθέντων ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ καταχραξάντων τοῦ λεχθέντος Ἰωάννου, ὁ μὲν πατριάρχης καὶ Ἀλέξανδρος ὁ ἔπαρχος τῶν πραιτωρίων καὶ ἄλλοι τινὲς τῶν ἀρχόντων καὶ Λεόντιος κόμης τοῦ ὀψαρίου καὶ σπαθάριος, ἀνῆλθαν εἰς τὸν ἄμβωνα τῆς μεγάλης ἐκκλησίας, καὶ κραυγῶν πολλῶν γενομένων D
κατὰ τοῦ ῥηθέντος Ἰωάννου τοῦ ἐπίκλην Σεισμοῦ ἀπὸ τοῦ κοι-

3. ἔτος] τὸ P. 4. καὶ] τῆς P. 17. καταχραζόντων P. 20. ἀνῆλθον P.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIII.

626. XVI. Ind. XIV. Post Cons. Heraclii Augusti XV. 1. 351.

Et ab ipso die XXII. Januarii mensis, scribitur, *Imperii Heraclii Novi Constantini anno* XIV.

Hoc anno, mense Dystro, secundum Romanos, Martio, apparuit sydus fulgentissimum versus occidentem, post occasum solis.

Hoc anno, mense Artemisio, secundum Romanos Maio, XIV. feria IV. in quam incidit Media Pentecoste, convenerunt Scholae (Palatinae) una cum multis aliis ex plebe, in sanctissima Magna Ecclesia, clamoribusque consecuti sunt Joannem cognomento Sismum, quod tollere vellet panes Scholarum in sportulas militum dari consuetos: Sergio Patriarcha interea pollicente operam suam se collaturum ut satis iis fieret, dummodo sinerent sacram Liturgiam peragi.

XIV. ejusdem mensis die, pluribus rursum in sanctissima magna Ecclesia coactis, et clamitantibus contra praedictum Joannem, Patriarcha et Alexander Praefectus Praetorio, et alii quidam ex Magistratibus, et Leontius Comes piscium et Spatharius, Magnae Ecclesiae Ambonem conscenderunt, multisque clamoribus contra eundem Joannem cognomento

*νου εἰς τὸ μηκέτι αὐτὸν παρελθεῖν διὰ πολιτικοῦ πράγματος,
ἐκεῖνος μὲν καθῃρέθη καὶ κατεβλήθησαν αὐτοῦ παραχρῆμα αἱ
V 812 εἰκόνες. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Ἀλέξανδρος προσεφώνησε,
λέγων ὅτι Ἀπὸ ἄρτι πρὸς ἐμὲ ἔχετε χάριν τῶν ψωμίων καὶ ἐλπί-
ζω ἐν τάχει ποιῶ διόρθωσιν εἰς αὐτό. ὁ γὰρ λεχθεὶς Ἰωάννης ὁ
Σεισμὸς γ' φόλλεων πιπρασκομένου τοῦ ψωμίου αὐτὸς η' φόλ-
λεων αὐτὸ ἠβουλήθη ποιῆσαι· καὶ ὁ θεὸς κατέβαλε τὴν βου-
λὴν αὐτοῦ.*

P 892 *Καλὸν δὲ διηγήσασθαι ὅπως καὶ νῦν ὁ μόνος πολυέλεος καὶ
B 896 εὔσπλαγχνος θεὸς τῇ εὐπροσδέκτῳ πρεσβείᾳ τῆς ἀχράντου αὐ-
τοῦ μητρὸς καὶ κατὰ ἀλήθειαν δεσποίνης ἡμῶν θεοτόκου καὶ
ἀειπαρθένου Μαρίας τὴν ταπεινὴν ταύτην αὐτοῦ πόλιν ἔσωσεν
ἐκ τῶν κατὰ συμφωνίαν κυκλωσάντων αὐτὴν παναθέων ἐχθρῶν
τῇ κραταιᾷ αὐτοῦ χειρί, καὶ τὸν ἐν αὐτῇ εὑρεθέντα λαὸν ἐλυ-
τρώσατο τῆς προσδοκωμένης μαχαίρας, αἰχμαλωσίας τε καὶ πι-
κροτάτης δουλείας, ὃ οὐδεὶς τῶν πάντων εὐπορήσει διηγήσασθαι.
ὁ γὰρ ἐπικατάρατος Σαλβάρας, ἔξαρχος τοῦ Περσικοῦ στρατοῦ,
B ἐκδεχόμενος, ὡς ἔοικεν, καὶ ἔργοις δὲ τελευταῖον ἀπεδείχθη,
τὴν τοῦ παναθέου Χαγάνου τῶν Ἀβάρων ἐπέλευσιν, πρὸ πλεί-
στων τούτων ἡμερῶν γενόμενος ἐν Χαλκηδόνι πάντα τά τε προά-
στεια καὶ παλάτια καὶ τοὺς εὐκτηρίους οἴκους ἀθέως ἐνέπρησεν,*

4. (ὡς) *ἐλπίζω* P sola. 16. *ὃ* addidit P sola. 20. *τε* et *καὶ παλά-
τια* om. P.

Sismum a populo excitatis, ut a publicae rei administratione amoveretur, exauctoratus est, statuaeque illius extemplo dejectae. Alexander autem Praefectus Praetorio multitudinem sic est allocutus: *Panes deinceps a me accipietis, ac futurum spero, uti brevi res ad priorem statum revocetur.* Quippe Joannes iste Sismus, cum tribus duntaxat Follibus panis venderetur, rem ipse eo deducere conabatur, uti octo Folles exigerentur: sed Deus consilium ejus evertit.

Operae pretium porro videtur exponere, quemadmodum et nunc solus misericors ac clementia plenus Deus per acceptissimam intemeratae matris ipsius, et vere Dominae nostrae Dei Genitricis, et semper Virginis Mariae intercessionem, humilem hanc suam urbem ex impiis hostibus, inita invicem conjuratione hanc obsidentibus, et cingentibus, potenti sua manu, et qui tum in ea erat populum ab imminente gladio, captivitate, et acerbissima servitute liberaverit: quae quidem omnia nemo satis poterit exponere. Etenim execrandus ille Salbaras, Persici exercitus Dux et Exarchus, cum expectaret, ut vero simile est, et ex factis demum apparuit, Deo invisi Avarum Chagani adventum, interim complures ante dies castris ad Chalcedonem positis, suburbana omnia, et sacras aedes incendio sacrilege absumpsit: ibique mansit, illius adventum praestolatus.

καὶ ἔμεινεν λοιπὸν τὴν ἐκείνου παρουσίαν ἐκδεχόμενος. τῇ οὖν κθ' τοῦ ἰουνίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος, τουτέστιν τῇ ἡμέρᾳ τῆς συνάξεως τῶν ἁγίων καὶ ἐνδόξων κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, κατέλαβε πρόκουρσον τοῦ θεομισήτου Χαγάνου, ὡς ἄχρι χιλιάδων τριάκοντα, διὰ δηλωμάτων φημίσαντος τό τε μακρὸν τεῖχος καταλαβεῖν καὶ τὰ ἔνδον αὐτοῦ, ὥστε τοὺς εὑρεθέντας ἔξωθεν τῆς πόλεως ἐφίππους γενναιοτάτους C στρατιώτας κατὰ τὴν αὐτὴν ἡμέραν, κυριακὴν οὖσαν, ἔνδον γενέσθαι τοῦ νέου Θεοδοσιακοῦ τείχους ταύτης τῆς βασιλίδος πόλεως, καὶ ἔμεινεν τὸ αὐτὸ πρόκουρσον ἐπὶ τὰ μέρη Μελαντιάδος, ὀλίγων ἐξ αὐτῶν ἐκτρεχόντων μέχρι τοῦ τείχους ἐκ διαλειμμάτων, καὶ μὴ συγχωρούντων τινὰ ἐξιέναι ἢ ὅλως ἀλόγων δαπάνας συλλέγειν. ἐν τῷ μέσῳ δὲ ἄχρις ἡμερῶν δέκα ἐφεξῆς διαδραμουσῶν, καὶ μηδενὸς τῶν ἐχθρῶν σύνεγγυς τοῦ τείχους φανέντος, ἐξῆλθαν στρατιῶται μετὰ παλλικαρίων καὶ πολιτῶν, ὀφείλοντες ὡς ἀπὸ δέκα μιλίων θερίσαι ὀλίγα γεννήματα, καὶ συνέβη ἀπαντηθῆναι αὐτοῖς τοὺς ἐχθροὺς καὶ ἔνθεν κἀκεῖθέν τινας διαπεσεῖν, D συσχεθῆναι δὲ καί τινας ἐκ τῶν παλλικαρίων, τῶν στρατιωτῶν καὶ τῶν πολιτῶν τῶν ἐξελθόντων σὺν αὐτοῖς. εἰ μὴ γὰρ συνέβη τοὺς στρατιώτας περισπασθῆναι εἰς τὸ ἐκδικῆσαι τὰ ἴδια παλλικάρια καὶ τοὺς πολίτας, ἱκανοὶ ἐφονεύοντο ἐκ τῶν ἐχθρῶν κατ' ἐκείνην τὴν ἡμέραν. μετ' οὐ πολὺ δέ τινων ἐχθρῶν ἄχρι μιᾶς χιλιάδος

9. τοῦ ταύτης P. 14. ἐξῆλθον P. 15. καὶ om. R, uncis inclusit P. 19. τῶν alterum om. P.

Itaque xxix. Junii mensis, praesentis xiv. Indictionis, die scilicet festo sanctorum et illustrium Coryphaeorum Apostolorum Petri et Pauli, accessit prima acies Deo odiosi Chagani, triginta circiter hominum millium; per nuntios promulgantis se quamprimum Longum Murum occupaturum, et quidquid intra illum est: ita ut quotquot ex equitibus ac fortissimis militibus qui hactenus extra urbem erant, hoc ipso die, qui in Dominicam incidit, intra novum Theodosiacum murum hujus urbium Reginae se confestim reciperent. Mansitque prima ista acies circa Melantiadem, paucis ex iis usque ad muros per intervalla excurrentibus, et quenquam exire, vel ad equorum pabulationem quidquam colligere prohibentibus. Elapsis interea diebus decem, nemine ex hostibus ad moenia apparente, egressi milites cum calonibus et civibus, uti ad decimum ab urbe lapidem meterent exiguam segetem, in hostes incidere, aliquot ex iis caesis, quibusdam etiam ex militum calonibus et ex civibus qui cum iis egressi fuerant, captis. Nisi tamen milites in calonibus suis defendendis fuissent occupati, magnum satis ex hostibus numerum eo die interfecissent. Caeterum non multo post circiter mille ex hostibus, hoc ipso die, juxta

ἐλθόντων πλησίον τοῦ σεβασμίου οἴκου τῶν ἁγίων Μακκαβαίων
πέραν ἐν Συκαῖς, καὶ ἐμφανισάντων ἑαυτοὺς τοῖς Πέρσαις, κἀ-
κείνων συναχθέντων ἐπὶ τὰ μέρη Χρυσοπόλεως, καὶ γνωρισάν-
P 393 των ἀλλήλοις διὰ πυρκαϊᾶς τὴν ἑαυτῶν παρουσίαν, ἐν τῷ μέσῳ
ἀπέλυσεν ὁ ἐπικατάρατος Χαγάνος Ἀθανάσιον τὸν ἐνδοξότατον
R 398 πατρίκιον ἀπὸ τῶν μερῶν Ἀδριανουπόλεως, εἰρηκὼς αὐτῷ ὅτι
Ἄπελθε καὶ ἴδε πῶς θέλουσιν οἱ τῆς πόλεως θεραπεῦσαί με
καὶ τί θέλουσί μοι δοῦναι, ἵνα ὑποστρέψω. εἰσελθόντος οὖν
αὐτοῦ Ἀθανασίου τοῦ ἐνδοξοτάτου, καὶ ταῦτα ἀπαγγείλαντος
Βόνῳ τῷ ἐνδοξοτάτῳ πατρικίῳ καὶ μαγίστρῳ καὶ τοῖς λοιποῖς
V 313 ἄρχουσι, κἀκείνων ἐπιμεμψαμένων αὐτῷ οὕτως ὑποπεσόντι τῷ
ἐπικαταράτῳ Χαγάνῳ καὶ ὑποσχομένῳ τοὺς τῆς πόλεως τὰ θε-
ραπεύοντα αὐτὸν πράττειν, τότε Ἀθανάσιος ὁ ἐνδοξότατος εἶπεν
B ταῦτα αὐτῷ ῥηθῆναι παρὰ τῶν ἐνδοξοτάτων ἀρχόντων κατὰ τὸν
καιρὸν καθ' ὃν εἰς πρεσβείαν ἐστέλλετο· λοιπὸν δὲ μηδὲ μεμα-
θηκέναι αὐτὸν οὕτω τὰ τοῦ τείχους κατησφαλίσθαι καὶ στρατὸν
ἐνταῦθα παρεῖναι· πλὴν ἑτοίμως ἔχειν αὐτὸν τὴν αὐτῷ διδομέ-
νην ἀπόκρισιν λέγειν ἀπαραλλάκτως τῷ Χαγάνῳ. εἶτα ἐπιζητή-
σαντος τοῦ αὐτοῦ ἐνδοξοτάτου Ἀθανασίου πρότερον ἐθέλειν θεω-
ρῆσαι τὸν ἐν τῇ πόλει ὄντα στρατόν, ἁρμαστατιῶνος γενομένης
ηὑρέθησαν τῶν ἐνδημούντων ἐν τῇ πόλει καβαλλαρίων περὶ τὰς
ιβ' καὶ πρὸς χιλιάδας. καὶ τότε δέδωκαν αὐτῷ οἱ ἄρχοντες ἀντα-
C πόκρισιν ὀφείλουσαν πάντως παρασκευάσαι τὸν ἐπικατάρατον

8. ἐλθόντος R. 15. μηδὲ om. R.

venerandam aedem Sanctorum Maccabaeorum ultra Sinum in Sycis, accedentibus, ac sese Persis visendos praebentibus, qui versus Chrysopolim castra posuerant, suam inter se per ignes praesentiam significantibus. Interim execrandus Chaganus Athanasium clarissimum Patricium Adrianopoli cum his dictis amandavit: *Abi, et vide qua ratione velint cives me placare, quaeve dona offerre, ut hinc recedam.* Veniente igitur ipso gloriosissimo Athanasio, haecque Bono gloriosissimo Patricio et Magistro, caeterisque Magistratibus exponente, iisque Athanasium objurgantibus, quod abominando Chagano ita se subdiderit, fueritque pollicitus urbis cives quae illi placitura essent executuros: tum gloriosissimus Athanasius haec sibi data esse in mandatis dixit a gloriosissimis Magistratibus quo tempore legatus missus fuerat: caeterum neque scire se ita muros esse munitos, copiasque hic adesse: nihilominus paratum se datum Chagano responsum iisdem verbis referre. Deinde cum gloriosissimus Athanasius, priusquam reverteretur, quantae essent in urbe copiae videre vellet, lustratione facta, reperta sunt in urbe existentium equitum circiter millia duodecim. Tum Magistratus jusserunt ea responderi quae execrandum Chaganum omnino persuaderent ab exercitum a moenibus, seu

Χαγάνον πλησιάσαι τῷ τείχει ἤγουν τῇ πόλει. εἶτα Ἀθανασίου τοῦ ἐνδοξοτάτου τὰ πρὸς ἐκεῖνον φθάσαντος, καὶ μὴ δεχθέντος, ἀλλὰ λέγοντος τοῦ καταράτου Χαγάνου ὅλως μὴ ἐνδιδόναι, εἰ μήδ' ὂν καὶ τὴν πόλιν καὶ τοὺς ἐν αὐτῇ ὄντας κομίσηται, τῇ κθ' τοῦ Ἰουλίου μηνὸς αὐτὸς ὁ θεομίσητος Χαγάνος κατέλαβε τὸ τεῖχος μετὰ ὅλου τοῦ ὄχλου αὐτοῦ, καὶ ἔδειξεν ἑαυτὸν τοῖς τῆς πόλεως. μετὰ μίαν ἡμέραν, τουτέστιν τῇ λα' τοῦ αὐτοῦ Ἰουλίου μηνός, ἦλθεν παρατασσόμενος πόλεμον [καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν] ἀπὸ τῆς λεγομένης Πολυανδρίου πόρτας καὶ ἕως τῆς πόρτας τοῦ Πέμπτου καὶ ἐπέκεινα σφοδροτέρως· ἐκεῖ D γὰρ τὸν πολὺν αὐτοῦ παρέστησεν ὄχλον, στήσας εἰς ὄψιν κατὰ τὸ λοιπὸν μέρος τοῦ τείχους Σκλάβους. καὶ ἔμεινεν ἀπὸ ἕωθεν ἕως ὥρας ια' πολεμῶν, πρῶτον μὲν διὰ πεζῶν Σκλάβων γυμνῶν, κατὰ δὲ δευτέραν τάξιν διὰ πεζῶν ζαβάτων. καὶ περὶ ἑσπέραν ἔστησεν ὀλίγα μαγγανικὰ καὶ χελώνας ἀπὸ Βραχιαλίου καὶ ἕως Βραχιαλίου. καὶ πάλιν τῇ ἑξῆς ἔστησε πλῆθος μαγγανικῶν εἰς τὸ μέρος ἐκεῖνο τὸ πολεμηθὲν παρ' αὐτοῦ σύνεγγυς ἀλλήλων, ὡς ἀναγκασθῆναι τοὺς τῆς πόλεως πάμπολλα στῆσαι μαγγανικὰ R 900 ἔνδοθεν τοῦ τείχους τῆς μάχης καθ' ἑκάστην τῶν πεζῶν συγκροτουμένης, καὶ τῶν ἡμετέρων κατὰ θεοῦ δημιουργίαν ἐκ τοῦ περιγεγονότος ἀποσοβούντων μήκοθεν τοὺς ἐχθρούς. ἐκαλάμωσε δὲ P 394 τὰς πετραρίας αὐτοῦ καὶ ἔξωθεν ἐβύρσωσεν. παρεσκεύασεν δὲ

1. μὴ πλησιάσαι Ducangius. 3. μοι P. 8. Seclusi καὶ — πολεμῶν. 9. Κολιανδρίου hic et infra RV. 12. καὶ — πολεμῶν om. P. 14. διὰ om. P.

urbe, amovendum. Cum ergo gloriosissimus Athanasius ad execrandum Chaganum pervenisset, ab eo minime exceptus est, illo dicente, sibi omnia esse tradenda, sin minus, urbem funditus eversurum se, et quotquot in ea erant abducturum.

xxix. Julii mensis die, Deo invisus Chaganus accessit ad moenia cum universis copiis, ac seipsum civibus ostendit. Post diem unum exactum, scilicet xxxi. ejusdem mensis Julii, accessit ad praelium paratus, mansitque a prima luce usque ad horam xi. bellum fortiter ciens a porta Polyandrii usque ad portam Quinti, atque adeo ulterius: ibi enim plurimum militem statuit in ipsius urbis conspectu, in reliqua vero muri parte Sclavos, ac primam quidem eorum aciem pedestrem nudam, alteram pedestrem loricatam. Tum sub vesperam machinas aliquot et testudines admovit a Brachialio usque ad Brachialium. Rursum postero die multa tormenta in illam partem quae ab ipso oppugnabatur, statuit, ita inter se proxima, ut necesse fuerit obsessis quam plurimas machinas intra muros apponere, peditibus quotidie invicem pugnantibus, nostrisque, Dei providentia, victoribus, ac hostes longe propulsantibus. Confecit praeterea machinas jaculatorias, quas extrorsum corio texit. Aedificavit autem in eo spatio,

εἰς τὸ διάστημα το ἀπὸ τῆς Πολυανδρίου πόρτας ἕως τῆς πόρτας τοῦ ἁγίου Ῥωμανοῦ στῆναι ιβ' πυργοκαστέλλους ὑψηλούς, φθάνοντας σχεδὸν ἕως τῶν προμαχεώνων, καὶ ἐβύρσωσεν αὐτούς. καὶ οἱ εὑρεθέντες δὲ ναῦται ἐν τῇ πόλει καὶ αὐτοὶ ἐξῆλθον εἰς συμμαχίαν τοῖς πολίταις· καὶ εἷς ἐξ αὐτῶν τῶν ναυτῶν ἐμηχανήσατο καταρτίαν καὶ ἐκρέμασεν εἰς αὐτὴν κάραβον, ὀφείλων δι' αὐτοῦ ἐμπρῆσαι τοὺς πυργοκαστέλλους τῶν ἐχθρῶν, ὅντινα ναύτην καταπλήξαντα τοὺς πολεμίους οὐ μετρίως συνεκρότησε Βόνος ὁ πανεύφημος μάγιστρος.

b Ὁ δὲ αὐτὸς εὐκλεέστατος μάγιστρος μετὰ τὸ ἐγγίσαι τὸν ἐχθρὸν τῷ τείχει οὐ διέλειπεν προτρέπων αὐτὸν λαβεῖν μὴ μόνον τὰ πάκτα αὐτοῦ, ἀλλὰ καὶ ἕτερον στίχον ὑπὲρ τοῦ ἐλθεῖν αὐτὸν ἕως τοῦ τείχους. καὶ οὐ προσεδέξατο, ἀλλ' ἔλεγεν ὅτι ἀναχωρήσατε τῆς πόλεως καὶ ἐάσατέ μοι τὰς ὑποστάσεις ὑμῶν, καὶ σώσατε ἑαυτοὺς καὶ τὰς φαμιλίας ὑμῶν. ἠγωνία δὲ χαλάσαι εἰς θάλασσαν τὰ μονόξυλα, ἅπερ ἤγαγεν μεθ' ἑαυτοῦ, καὶ οὐ συνεχωρεῖτο ἐκ τῶν σκαφοκαράβων. καὶ ταῦτα λοιπὸν παρεσκεύασεν χαλασθῆναι κατὰ τὴν γέφυραν τοῦ ἁγίου Καλλινίκου μετὰ τρίτην C ἡμέραν τοῦ πολεμῆσαι. διὰ τοῦτο δὲ παρεσκεύασεν ἐκεῖσε χαλασθῆναι τὰ μονόξυλα, ὡς τῶν τόπων ἐπιβραχέων ὄντων, καὶ μὴ δυναμένων ἐκεῖσε τῶν σκαφοκαράβων παρεισελθεῖν. ἔμειναν δὲ οἱ

4. οἱ om. P. 10. αὐτὸς om R. ib. ἐκκλεέστατος R. ib. τῶν ἐχθρῶν m. R. 11. διέλιπε P. 13. ἀναχωρήσετε — ἐάσετε P. 15. χαλάσας P. 16. τὰ om. P. 21. οἱ om. P.

quod inter portam Polyandrii et portam Sancti Romani interjacet, XII. turres castellis instructas, praealtas, et quae ipsa fere propugnacula attingerent, quas et perinde corio munivit. Sed et Nautae qui erant in urbe, egressi, civibus subsidio erant: unusque ex iisdem nautis malum nauticum machinatus est, in cujus summitate navigiolum appendit, quo hostium turres castellis instructas incenderet: quem quidem nautam, qui hostes adeo perculerat, collaudavit Bonus gloriosus Magister.

Idem porro celebratissimus Magister, quoties ad moenia accessit, non destitit hostem hortari, non solum ut tributa sua acciperet, sed et alia quorum causa ad ipsa usque moenia venerat. Verum nihil ex his admisit, dixitque: *Urbe cedite, vestrasque fortunas mihi dimittite, servateque vos ipsos, et familias vestras.* Angebatur vero potissimum in trabariis, quas secum attulerat, in mare demittendis: cum a majoribus scaphis impediretur. Sed eas tandem in mare immittere decrevit versus pontem Sancti Callinici, triduo postquam coepit urbem oppugnare. Ideo vero hocce loco trabarias demittere ei visum est, quod loca illa essent vadosa, et ubi majora navigia accedere minime poterant. Manserunt igitur ea-

σκαφοκάραβοι εἰς ὄψιν τῶν μονοξύλων ἀπὸ τοῦ ἁγίου Νικολάου ἕως τοῦ ἁγίου Κόνωνος πέραν εἰς Πηγάς, μὴ συγχωροῦντες παρεξελθεῖν τὰ μονόξυλα.

Τῷ δὲ σαββάτῳ τῇ δείλῃ, τουτέστιν τῇ δευτέρᾳ τοῦ αὐγούστου μηνός, ἐζήτησεν ἄρχοντας ὁ Χαγάνος ὀφείλοντας αὐτῷ διαλεχθῆναι. καὶ δὴ ἐξῆλθον πρὸς αὐτὸν Γεώργιος ὁ ἐνδοξότατος πατρίκιος καὶ Θεόδωρος ὁ ἐνδοξότατος κομμερκιάριος ὁ τὴν Ἴσατιν καὶ Θεοδόσιος ὁ ἐνδοξότατος πατρίκιος καὶ λογοθέτης καὶ D Θεόδωρος ὁ θεοφιλέστατος σύγκελλος καὶ Ἀθανάσιος ὁ ἐνδοξότατος πατρίκιος. καὶ δὴ ἀπελθόντων αὐτῶν ἤγαγεν εἰς ὄψιν αὐτῶν ὁ Χαγάνος τρεῖς Πέρσας φοροῦντας ὁλοσήρικα, πεμφθέντας R 902 πρὸς αὐτὸν ἐκ τοῦ Σαλβάρα. καὶ ἐκείνους μὲν παρεσκεύασεν καθεσθῆναι ἐπὶ αὐτοῦ, τοὺς δὲ ἡμετέρους πρεσβευτὰς παρίστασθαι. καὶ εἶπεν ὅτι Ἰδοὺ οἱ Πέρσαι ἐπρέσβευσαν πρὸς ἐμέ, ἑτοίμως ἔχοντες δοῦναί μοι τρεῖς χιλιάδας εἰς συμμαχίαν. ἐὰν οὖν θέλετε λαβεῖν ἕκαστος τῶν ἐν τῇ πόλει πρὸς σάγιν καὶ κάμισιν, ποιοῦμεν σιγίλλιν πρὸς τὸν Σαλβάραν· φίλος γάρ μού ἐστιν, καὶ πε- P 395 ράσατε πρὸς αὐτόν, καὶ οὐκ ἀδικεῖ ὑμᾶς, καὶ ἐάσατέ μοι τὴν πόλιν καὶ τὰς ὑποστάσεις ὑμῶν· ἄλλως γὰρ ὑμᾶς οὐκ ἔνι σωθῆναι, μὴ ἰχθύες ἔχετε γενέσθαι καὶ διὰ θαλάσσης ἀπελθεῖν ἢ πετεινοὶ καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν. ἰδοὺ γάρ, ὡς λέγουσιν αὐτοὶ οἱ Πέρσαι, οὐδὲ ὁ βασιλεὺς ὑμῶν ἐν Περσίδι εἰσῆλθεν οὐδὲ

1. Νικολάου — ἁγίου om. P. 7. Ἰσάτιν PV. 9. σύγγελλος P. 13. περίστασθαι PV. 17. σύγγιλιν P. ib. Σάρβαρον P, Σάλβαρον R. ib. περάσετε P. 18. ἐάσετε P.

dem navigia in trabariarum conspectu ab aede sacra sancti Cononis trans Fretum, usque ad Fontes, cum transitum trabariis prohiberent.

Sabbato, circa vesperam, secundo scilicet Augusti mensis die, Chaganus Proceres ad colloquium evocavit. Et egressi sunt cum ipso collocuturi Georgius clarissimus Patricius, Theodorus clarissimus Commerciarius Glasti, Theodorus clarissimus Patricius et Logotheta, Theodorus religiosissimus Syncellus, et Athanasius clarissimus Patricius. Hi cum profecti essent, adduci praecepit Chaganus in eorum conspectum tres Persas sericeis vestibus indutos, qui ad ipsum missi fuerant a Salbara, quos sibi assidere jussit, nostris interea legatis stantibus: tum haec verba fecit, *Ecce ad me legationem miserunt Persae, tria hominum millia in subsidium mihi dare parati. Si igitur quotquot in urbe estis cum sago duntaxat ac indusio ex ea excedere velitis, pacta ac foedus cum Salbaro ineamus: amicus enim meus est, ad illumque transite, neque ulla is vos injuria afficiet. Mihi vero urbem ac fortunas vestras dimittite, nulla quippe vobis alia superest salutis expediendae via: nisi forte vos fieri pisces contingat, quo per mare evadatis, vel aves, quo evoletis in aerem. En ecce, ut illi asserunt, ipsi Persae. Sed et neque Imperator vester Per-*

ὁ στρατὸς ὑμῶν καταλαμβάνει. εἶπε δὲ αὐτῷ Γεώργιος ὁ ἐνδοξό-
τατος ὅτι οὗτοι ἐπιθέται εἰσὶν καὶ μίαν ἀλήθειαν οὐ λαλοῦσιν.
ἐπεὶ ὁ στρατὸς ἡμῶν ἐνταῦθα καταλαμβάνει, καὶ ὁ εὐσεβέστατος
ἡμῶν δεσπότης εἰς τὴν χώραν αὐτῶν ἐστιν ἐξολοθρεύων αὐτήν.
B ὁ εἷς οὖν τῶν Περσῶν διακνισθεὶς ὕβρισεν ἐπὶ τοῦ Χαγάνου τὸν
εἰρημένον ἐνδοξότατον Γεώργιον. καὶ αὐτὸς ἀνταπεκρίθη αὐτῷ
ὅτι Σύ με οὐχ ὑβρίζεις, ἀλλ' ὁ Χαγάνος. εἶπαν δὲ καὶ τοῦτο
τῷ Χαγάνῳ οἱ πρὸς αὐτὸν ἐξελθόντες ἐνδοξότατοι ἄρχοντες ὅτι
Τοσαῦτα πλήθη ἔχων βοηθείας Περσῶν δέῃ. καὶ εἶπεν ὅτι Ἐὰν
θελήσω, παρέχουσί μοι εἰς συμμαχίαν· φίλοι γάρ μού εἰσιν.
καὶ πάλιν εἶπον αὐτῷ οἱ ἄρχοντες ἡμῶν ὅτι Ἡμεῖς τὴν πόλιν οὐ-
δέποτε ἐῶμεν· ἡμεῖς γὰρ προσδοκῶντες ὅτι καίριόν τι λαλοῦμεν
C ἐξήλθαμεν πρὸς σέ. ἐὰν οὖν μὴ θέλῃς τὰ πρὸς εἰρήνην μεθ'
ἡμῶν λαλῆσαι, ἀπόλυσον ἡμᾶς. καὶ ἀπέλυσεν αὐτούς. καὶ τῇ
νυκτὶ εὐθέως τῇ ἐπὶ κυριακὴν κατὰ δημιουργίαν τοῦ ἀγαθοῦ καὶ
φιλοικτίρμονος θεοῦ περιέπεσαν αὐτοὶ οἱ Πέρσαι οἱ πρεσβεύσαντες
πρὸς τὸν Χαγάνον ἐν τῷ ἀντιπερᾶν αὐτοὺς διὰ Χαλῶν ἐπὶ Χρυ-
σόπολιν εἰς ἡμετέρους καράβους, ἐν οἷς ἦσάν τινες καὶ τῶν τοῦ
ὀρφανοτροφείου· καὶ ὁ εἷς ἐξ αὐτῶν τῶν Περσῶν ηὑρέθη βαλὼν
ἑαυτὸν εἰς καράβιν λεγόμενον σανδάλιν ἐπὶ ὄψιν καὶ ἐπάνω τὰ
V 315 καταλέκτια, καὶ οὕτως ἀντιπερῶν ἐπὶ Χρυσόπολιν. ὁ δὲ ναύτης
ὁ ὢν ἐν αὐτῷ τῷ καραβίῳ καὶ ἐλαύνων ἔνευσεν εὐφυῶς τοῖς τοῦ

13. ἐξήλθομεν P. 20. χαράβην PV. 22. αὐτῷ om. R.

sidem est ingressus, neque ullus hic vester adstat exercitus. Cui gloriosissimus Georgius, *Isti*, inquit, *impostores sunt, nec quicquam veri dicunt. Noster enim hic adest exercitus, ac piissimus Princeps noster in eorum provinciis versatur, hasque devastat omnino.* Tum hisce dictis motus unus ex Persis, gloriosissimum Georgium Chagani nomine conviciis impetiit. Cui ille, *Minime*, ait, *tua sunt in me convicia, sed Chagani.* Illud etiam ingesserunt Chagano, qui ad eum missi fuerant gloriosissimi Proceres: *Atqui licet tantae sint vires tuae, Persarum etiam auxilio indiges.* Tum Chaganus, *Si velim*, inquit, *ii mihi subsidio venient, amici enim mei sunt.* Rursum vero Proceres nostri dixerunt: *Nequaquam dimittemus urbem nostram: sed hic expectamus, dum tecum de his quae ad rem praesentem conducunt colloquamur: si ergo de pace nobiscum nolis agere, nos dimitte.* Hosque tum ille dimisit. Eadem porro ipsa nocte, quae Dominicam praecedit, singulari benigni ac misericordis Dei providentia, ad Chaganum missi ii legati, dum per Chelas Chrysopolim trajiciunt, in nostras naves incidunt, quae quosdam ex Orphanotrophio vehebant, unusque ex illis Persis deprehensus est se ipsum in scapham, quam Sandalin vocant, pronum in faciem abjecisse, stragulisque sese operuisse, ita Chrysopolim trajicere conatum. At nauta qui in navi erat, eamque regebat, hoc ani-

ὀρφανοτροφείου, καὶ ἐπανάξαντες καὶ ἐπαρόντες τὰ καταλέκτια, R 904 καὶ εὑρόντες αὐτὸν τὸν Πέρσην τέλειον ὄντα καὶ κείμενον ἐπὶ D ὄψιν, ἔσφαξαν καὶ ἐπῆραν τὴν κεφαλὴν αὐτοῦ. τοὺς δὲ ἄλλους δύο Πέρσας εἰς ἄλλο πλοῖον ἀντιπερῶντας ἐχειρώσαντο μετὰ καὶ τοῦ ναύτου, καὶ τούτους ἔσωθεν ἤγαγον εἰς τὸ τεῖχος. καὶ τοῦ μὲν ἑνὸς τῶν ζώντων κόψαντες τὰς δύο χεῖρας καὶ δήσαντες εἰς τὸν τράχηλον αὐτοῦ τὴν κεφαλὴν τοῦ σφαγέντος ἐν τῷ καράβῳ ἔπεμψαν οἱ ἡμέτεροι πρὸς τὸν Χαγάνον. τοῦ δὲ ἄλλου βληθέντος εἰς κάραβον καὶ ἀπενεχθέντος ζῶντος ἐπὶ Χαλκηδόνα, καὶ ἐπιδειχθέντος τοῖς Πέρσαις, ὥς ἐστιν εἰς τὸν κάραβον, ἀπεκε- P 396 φάλισαν αὐτὸν οἱ ἡμέτεροι, καὶ ἔῤῥιψαν εἰς γῆν τὴν κεφαλὴν αὐτοῦ μετὰ γραμμάτων ἐχόντων οὕτως· ὅτι ὁ Χαγάνος μεθ' ἡμῶν πάκτα πεποιηκὼς ἔπεμψεν ἡμῖν τοὺς παρ' ὑμῶν πρὸς αὐτὸν σταλέντας πρεσβευτάς, καὶ τοὺς μὲν δύο ἐν τῇ πόλει ἀπεκεφαλίσαμεν, τοῦ δὲ ἄλλου ἰδοὺ ὑμεῖς ἔχετε τὴν κεφαλήν. ἀπῆλθεν δὲ αὐτῇ τῇ κυριακῇ ὁ ἐπικατάρατος Χαγάνος εἰς Χαλάς, καὶ ἔβαλεν εἰς θάλασσαν μονόξυλα ὀφείλοντα ἀπελθεῖν εἰς τὴν ἀντιπέραν καὶ ἀγαγεῖν πρὸς ἑαυτὸν τοὺς Πέρσας κατὰ τὴν ὑπόσχεσιν αὐτῶν. τούτου δὲ γνωσθέντος, τῇ ἑσπέρᾳ ἐξ ἡμῶν ἀνέπλευσαν χὰν ο' κάραβοι ἐπὶ Χαλάς, τοῦ ἀνέμου ὄντος ἐναντίου, εἰς τὸ μὴ συγχωρῆσαι τὰ μονόξυλα ἀντιπερᾶσαι. καὶ ὑπέστρεψεν περὶ B

1. ἐπαίροντες P. Vide annot. ad Malalam p. 462. 19. 5. ἔσωθεν P. 7. καὶ τὴν P. 8. οἱ om. P. 10. ἐστιν] δὲ R. ib. τὸν om. P. 12. ὅτι γὰρ ὁ P. 19. ἡμέρᾳ P. 20. χὰν ὁ κάραβοι V, (χαν) ὁ, κάραβοι R, σκαφοκάραβοι P. 21. περὶ] ἐπὶ P.

madverso, iis qui ex Orphanotrophio erant, id dextra innuit, qui confestim reductis ac sublevatis stragulis, Persam sanum ac incolumem in faciem jacentem inventum interfecerunt, illiusque caput absciderunt. Alios vero duos Persas pariter in navi trajicientes, cum ipso nauta captos, intra moenia adduxerunt: ac alterum quidem ex superstitibus, truncata prius utraque manu, ejusque collo alligata, una cum illius qui in navicula interfectus fuerat capite, ad Chaganum nostri transmisere. Alterum autem in navim conjectum, vivumque Chalcedonem deductum, ac Persis ostensum, in ipsa navi capite truncarunt, eo in continentem ejecto, cum hocce scripto: *Chaganus, initis nobiscum foederibus, vestros ad eum missos legatos ad nos transmisit, quorum duobus capita in urbe amputari jussimus: alterius vero ecce habetote caput.* Abominandus deinde Chaganus, hoc ipso die Dominico, ad Chelas abiit, et trabarias in mare demisit, quibus in oppositam regionem trajiceret, secumque Persas, secundum eorum pollicita, adduceret. Quo cognito, eadem ipsa die, quidam ex nostris, solverunt naves cum suis scaphis versus Chelas, vento licet contrario, quo trabarias a trajectu in ulteriorem ripam prohiberent. Ac sub

ἑσπέραν ὁ ἐπικατάρατος Χαγάνος εἰς τὰ περὶ τὸ τεῖχος, καὶ ἐπέμφθησαν αὐτῷ ἀπὸ τῆς πόλεως βρώσιμά τινα καὶ οἰνάρια. ἦλθεν δὲ Ἑρμίτζις ἔξαρχος τῶν Ἀβάρων εἰς τὴν πόρταν λέγων ὅτι Βαρὺ πρᾶγμα ἐποιήσατε τοὺς χθὲς μετὰ τοῦ Χαγάνου ἀριστήσαντας, ὅτι ἐφονεύσατε, καὶ πρὸς τούτοις ἐπέμψατε αὐτῷ τὴν κεφαλὴν καὶ τὸν ἄλλον ἀποκεχειρισμένον. καὶ εἶπαν ὅτι Ἡμεῖς οὐ προσέχομεν αὐτῷ. τῇ οὖν νυκτὶ δευτέρας διαφαούσης ἠδυνήθησαν αὐτῶν μονόξυλα διαλαθεῖν τὴν σκοῦλκαν ἡμῶν καὶ περᾶσαι C πρὸς τοὺς ἐπόντισαν καὶ κατέσφαξαν πάντας τοὺς ἐν τοῖς μονοξύλοις εὑρεθέντας Σκλάβους.

Ἐξῆλθαν δὲ καὶ οἱ Ἀρμένιοι τὸ τεῖχος Βλαχερνῶν, καὶ ἔβαλαν πῦρ εἰς τὸν Ἔμβολον τὸν παρεκεῖ τοῦ ἁγίου Νικολάου. καὶ νομίσαντες οἱ ἐξειλήσαντες κολύμβῳ ἐκ τῶν μονοξύλων Σκλῦβοι Ἀβάρους εἶναι τοὺς ἱσταμένους παρὰ θάλασσαν, ὡς ἐκ τοῦ πυρός, ἐκεῖ ἐξελθόντες ἐσφάγησαν ἀπὸ τῶν Ἀρμενίων. ἄλλοι δὲ R 906 ὀλίγοι Σκλᾶβοι ἐξειλήσαντες κολύμβῳ, καὶ ἐξελθόντες ἐπὶ τὸ μέρος ἔνθα ἵστατο ὁ ἄθεος Χαγάνος, ἐσφάγησαν κατ' ἐπιτροπὴν αὐτοῦ. καὶ τοῦ θεοῦ κελεύσαντος διὰ τῶν πρεσβειῶν τῆς δεσποίD νης ἡμῶν τῆς θεοτόκου, ἐν μιᾷ ῥοπῇ ἡ διὰ θαλάσσης γέγονεν αὐτῷ πτῶσις. ἐξέβαλον δὲ ὅλα τὰ μονόξυλα εἰς τὴν γῆν οἱ ἡμέτεροι, καὶ μετὰ τὸ ταῦτα γενέσθαι ὑπέστρεψεν ὁ ἐπικατάρατος

7. διαφανούσης PV. *ib.* οὐκ addit ante ἠδυνήθησαν P ex conicctura Raderi et 9. *Πέρσας*, καὶ ἡμέτεροι, pro quo *Πέρσας*, οὓς addebat Raderus. 11. ἐξῆλθον P. 12. ἔβαλον P. 13. 16. ἐξηλάσαντες P, ἐξηλήσαντες V.

vesperam reversus est abominandus Chaganus proxime ad urbis murus, cui ex urbe esculenta quaedam et vina missa sunt. Veniens porro Ermitzis Avarum Exarchus ad portam, *Atrox*, inquit, *perpetrastis facinus, cum illos, qui heri cum Chagano pransi sunt, occidistis: ac praeterea ipsi unius caput, alterum vero manibus truncatum transmisistis.* Cui nostri, *Nobis*, inquiunt, *ille minime curae est.* Nocte ergo feriae secundae, sub diluculum non potuere eorum trabariae fallere nostras excubias, ac ad Persas trajicere, Sclavis omnibus qui in trabariis inventi sunt, vel in mare praecipitatis, vel a nostris interfectis.

Sed et Armenii ex Blachernarum muro egressi, ignem in Porticum, quae aedi Sancti Nicolai adjacet, immiserunt. Cumque Sclavi, qui ex trabariis in mare natandi gratia se demiserant, Avares esse, qui ad mare stationem haberent, ex igne conjicerent, huc venere, ubi ab Armeniis sunt interfecti. Pauci vero alii ex Sclavis natatu evadentes, cum ad impii Chagani castra pervenissent, illius jussu, trucidati sunt. Ac Deo postmodum ita volente, et intercessionibus Dominae nostrae Deiparae, uno momento, illius in mari accidit strages. Quippe universis trabariis

Χαγάνος εἰς τὸ φωσᾶτον αὐτοῦ, καὶ ἤγαγεν τὰ μαγγανικὰ ἀπὸ τοῦ τείχους ἃ ἦν παραστήσας καὶ τὴν σοῦδαν ἣν ἐποίησεν, καὶ ἤρξατο καταλύειν τοὺς πυργοκαστέλλους οὓς ἐποίησεν, καὶ τῇ νυκτὶ ἔκαυσεν τὸ σουδᾶτον αὐτοῦ καὶ τοὺς πυργοκαστέλλους, καὶ τὰς χελώνας ἀποβυρσώσας ἀνεχώρησεν.

Τινὲς δὲ ἔλεγον ὅτι οἱ Σκλῦβοι θεωρήσαντες τὸ γεγονὸς V 316
ἐπῆραν καὶ ἀνεχώρησαν, καὶ διὰ τοῦτο ἠναγκάσθη καὶ ὁ κατάρατος Χαγάνος ἀναχωρῆσαι καὶ ἀκολουθῆσαι αὐτοῖς.

Καὶ τοῦτο δὲ ἔλεγεν ὁ ἄθεος Χαγάνος τῷ καιρῷ τοῦ πολέ- P 397
μου ὅτι ἐγὼ θεωρῶ γυναῖκα σεμνοφοροῦσαν περιτρέχουσαν εἰς τὸ τεῖχος μόνην οὖσαν. ἐδήλωσε δὲ ἐν τῷ μέλλειν αὐτὸν ἀναχωρεῖν ὅτι μὴ ὑπολάβητε ὅτι κατὰ φόβον ἀναχωρῶ, ἀλλὰ διὰ τὸ στενωθῆναί με εἰς δαπάνας καὶ μὴ ἐπιστῆναί με ὑμῖν ἐν ἐπιτηδείῳ καιρῷ. ἀπέρχομαι δὲ καὶ φροντίζω δαπανῶν, καὶ ἔρχομαι ὀφείλων ποιῆσαι ὑμῖν εἴ τι εἰργάσασθε εἰς ἐμέ. ἔμειναν δὲ τῇ παρασκευῇ νωτοφύλακες καβαλλάριοι εἰς τὰ περὶ τὸ τεῖχος, βάλλοντες αὐτῇ τῇ ἡμέρᾳ λαμπρὰ εἰς πολλὰ προάστεια ἕως ὥρας ζʹ, καὶ ὑπεχώρησαν, ἔκαυσαν δὲ καὶ τὴν ἐκκλησίαν τῶν ἁγίων Κοσμᾶ B
καὶ Δαμιανοῦ ἐν Βλαχέρναις καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου Νικολάου καὶ ὅλα τὰ πέριξ. εἰς μέντοι τὴν ἐκκλησίαν τῆς δεσποίνης

